Τῇ Κυριακῇ τοῦ 'Αντιπάσχα,ἤτοι ἡ ψηλάφησις τοῦ 'Αγίου 'Αποστόλου Θωμᾶ,καί μνείαν ποιοῦμεν τῆς παραδόξου ἐλεύσεως ἡμῖν τῆς θαυματουργοῦ Εἰκόνος τῆς " Γλυκοφιλούσης " Κυρίας Θεοτόκου,ἔτι δέ τήν ἀνάμνησιν τῆς φυγῆς καί ἀπελάσεως ἐκ τοῦ 'Αγιωνύμου "Ορους,τῇ χάριτι τῆς Θεοτόκου,τοῦ τῶν 'Αγαρηνῶν μισοχρίστου στρατοῦ.

""""""""""""""""""""""""""""""""""""""""""""""""""""""""""

""""""""""""""""""""""""""""""""""""""""""""""""""""

## ΕΝ ΤΩ ΜΙΚΡΩ ΕΣΠΕΡΙΝΩ

'Ιστῶμεν στίχους δ' καί ψάλλομεν τά ἑξῆς Προσόμοια:

Τῆς Κυριακῆς .

Ἦχος α'. Τῶν οὐρανίων ταγμάτων.

Φέρει Χριστός φιλανθρώπως,καί τήν ψηλάφησιν,ὡς καί Σταυρόν πρό ταύτης,καί τόν ἄδικον φόνον,τάφου τριημέρως ἐξαναστάς,ἐσφραγισμένου τοῦ μνήματος·καί τῶν θυρῶν κεκλεισμένων τοῖς Μαθηταῖς,ἐπιστάς ὡς παντοδύναμος.

'Η τοῦ Θωμᾶ ἀπιστία,τήν κοσμοσώτειραν,τοῦ Θεανθρώπου Λόγου,τήν ἐξ "Αδου κευθμώνων,"Εγερσιν πιστοῦται,τρῆσιν χειρῶν,καί ποδῶν τολμηρότερον,ἐκψηλαφῶσα πρός πίστωσιν κοσμικήν,δεξιᾷ τῇ φιλοπράγμονι.

Καί τῆς Θεοτόκου ὅμοια.

'Εκ Βυζαντίου ἡ θεία Εἰκών σου "Αχραντε,διά θαλάσσης ξένως,ἐν τῷ "Αθῳ κατῆρε,καί ταύτην ὑποδέξατο ἐν χαρᾷ,θησαυρόν ὡς πολύτιμον,Γλυκοφιλοῦσα ἡ Μάνδρα ἡ εὐαγής,Φιλοθέου σε δοξάζουσα.

Τῇ κραταιᾷ προμηθείᾳ τῆς προστασίας σου,'Αγαρηνῶν Παρθένε,ἐκ τοῦ θείου σου κλήρου,ἀπήλασας στρατείαν καί κατοχήν· διά τοῦτο προσᾴδομεν,Γλυκοφιλοῦσα ἐν ὕμνοις χρεωστικῶς,χαριστήριον σοι αἴνεσιν.

Δόξα. Ἦχος β.

Μετά τήν ἔγερσίν σου Κύριε,συνηγμένων τῶν Μαθητῶν σου, καί τῶν θυρῶν κεκλεισμένων,ἐν μέσῳ ἔστης,εἰρήνην παρέχων αὐτοῖς.Πεισθείς δέ και ὁ Θωμᾶς,τῇ δρασει τῶν χειρῶν καί τῆς πλευρᾶς σου,Κύριον καί Θεόν σε ὡμολόγησε,σῴζοντα τούς ἐλπίζοντας εἰς σέ,φιλάνθρωπε.

Καί νῦν. Ὁ αὐτός.

Μετά φωνῆς αἰνέσεως Δέσποινα,τήν σήν ἁγίαν Εἰκόνα ἐδεξάμεθα,ὡς θησαύρισμα ἔνθεον,καί ἁγίασμα νοητόν,τῆς πρός ἡμᾶς προνοίας σου·χάριν γάρ ἀέναον πηγάζει,καί ψυχοτρόφον γλυκασμόν,καί τῇ ἐξ αὐτῆς ἐνεργείᾳ,ὁ μισόχριστος στρατός πάλαι ᾤχετο,ἐκ τοῦ ἁγίου σου κλήρου.'Αλλ'ὦ Γλυκοφιλοῦσα Παρθένε,τῆς τῶν παθῶν πικρίας ἡμᾶς ρύου,καί τήν παροῦσαν Μονήν σου φύλαττε,ἀσινῆ ἐκ πάσης θλίψεως.

ΑΠΟΣΤΙΧΑ

Ἦχος β. Οἶκος τοῦ 'Εφραθᾶ.

Ὤφθης τοῖς ἱεροῖς,σοῦ Σῶτερ 'Αποστόλοις,τῶν θυρῶν κεκλεισμένων,δι'αὐτῶν ἐγκαινίζων,ἡμῖν τό θεῖον Πνεῦμά σου.

Στίχ: Τό πρόσωπόν σου λιτανεύσουσιν.

Ἦκε τῇ σῇ Μονῇ,τοῦ Φιλοθέου Κόρη,Εἰκών σου ἡ ἁγία,ἥτις Γλυκοφιλοῦσα,προσφόρως ὀνομάζεται.

Στίχ: Μνησθήσομαι τοῦ ὀνόματός σου....

Εἶδες κλήρου τοῦ σοῦ,τήν θλῖψιν Θεομῆτορ,καί ἤλασας ἐκ τούτου,'Αγαρηνῶν τά στίφη,πλουσίᾳ σου χρηστότητι.

Δόξα.

Μόνε Παμβασιλεῦ,ὁ τῇ χειρί τοῦ θείου,θωμᾶ ψηλαφηθῆναι,-δεξάμενος ταῖς τούτου,λιταῖς ἡμᾶς οἰκτείρησον.

Καί νῦν. Θεοτοκίον.

Βρύει ἡ σή Εἰκών,Γλυκοφιλοῦσα Κόρη,τόν γλυκασμόν τόν θεῖον,καί τέρπει καί εὐφραίνει,τῶν Μοναστῶν τό σύστημα.

Νῦν ἀπολύεις,τό τρισάγιον,καί 'Απολυτίκια
ἐκ τοῦ Μεγάλου 'Εσπερινοῦ καί 'Απόλυσις.

""""""""""""""""""""""""""

""""""""

## ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ.

Μετά τόν Προοιμιακόν,Στιχολογοῦμεν τό α! Κάθισμα τοῦ ( Τελουμένης δέ ἀγρυπνίας τοῦτο ἀναγινώσκεται συνήθως ἐν τῷ Μικρῷ Ἑσπερινῷ).Εἰς δέ τό Κύριε ἐκέκραξα ἱστῶμεν στίχους ι! καί ψάλλομεν τῆς Κυριακῆς δ! καί τῆς Θεοτόκου στ!

### Τῆς Κυριακῆς.

Ἦχος α!

Τῶν θυρῶν κεκλεισμένων,τῶν Μαθητῶν συνηθροισμένων,εἰσῆλθες ἄφνω παντοδύναμε,Ἰησοῦ,ὁ Θεός ἡμῶν·καί στάς ἐν μέσῳ αὐτῶν,εἰρήνην δούς,ἐπλήρωσας ἁγίου Πνεύματος·προσμένειν τε προσέταξας,καί μηδαμοῦ χωρίζεσθαι ἀπό Ἱερουσαλήμ,ἕως οὗ ἐνδύσωνται τήν ἐξ ὕψους δύναμιν·διό βοῶμέν σοι·Ὁ φωτισμός,καί ἡ ἀνάστασις,καί ἡ εἰρήνη ἡμῶν,δόξα σοι.

Μεθ'ἡμέρας ὀκτώ,τῆς Ἐγέρσεώς σου Κύριε,ὤφθης τοῖς Μαθηταῖς σου ἐν τόπῳ,οὗ ἦσαν συνηγμένοι·καί φωνήσας αὐτοῖς·Εἰρήνη ὑμῖν·τῷ ἀπιστοῦντι Μαθητῇ τάς χεῖρας ὑπέδειξας,καί τήν ἄχραντον πλευράν·ὁ δέ πεισθείς ἐβόα σοι·Ὁ Κύριός μου καί ὁ Θεός μου,δόξα σοι.

Θωμᾶς,ὁ λεγόμενος Δίδυμος,οὐκ ἦν μετ'αὐτῶν,ὅτε εἰσῆλθες Χριστέ,κεκλεισμένων τῶν θυρῶν·ὅθεν καί ἠπίστει τοῖς ῥηθεῖσιν αὐτῷ,ἐξ ἀπιστίας εἰς πίστιν βεβαιῶν.Οὐκ ἀπηξίωσας δέ Ἀγαθέ,ὑποδεῖξαι αὐτῷ τήν ἄχραντον πλευράν σου,καί τῶν χειρῶν καί τῶν ποδῶν τούς μώλωπας.Ὁ δέ ψηλαφήσας καί ἰδών,ὡμολογησέ σε εἶναι Θεόν οὐ γυμνόν,καί ἄνθρωπον οὐ ψιλόν·καί ἐβόα·Ὁ Κύριός μου καί ὁΘεός μου δόξα σοι.

Τῶν Μαθητῶν διστταζόντων,τῇ ὀγδόῃ ἡμέρᾳ,ἐπέστη ὁ Σωτήρ, οὗ ἦσαν συνηγμένοι·καί τήν εἰρήνην δούς,τῷ Θωμᾷ ἐβόησε·Δεῦρο Ἀπόστολε,ψηλάφησον παλάμας,αἷς τούς ἥλους ἔπηξαν.Ὢ καλή ἀπιστία τοῦ Θωμᾶ! τῶν πιστῶν τάς καρδίας εἰς ἐπίγνωσιν ἦξε,καί μετά φόβου ἐβόησεν·Ὁ Κύριός μου καί ὁ Θεός μου,δόξα σοι.

Τῆς Θεοτόκου.

Ἦχος α'. Ὢ τοῦ παραδόξου θαύματος!

Ὢ τοῦ παραδόξου θαύματος! ἡ Εἰκὼν ἡ σεπτή, τῆς Ἁγνῆς Θεόπαιδος, ἐξ Βύζαντος θαυμαστῶς, ἡμῖν κατέπλευσε, καί ταύτην ὡς θησαυρόν, ἡ Φιλοθέου Μονή ὑπεδέξατο, καί ἅπαντας συγκαλεῖ, τῇ Θεοτόκῳ βοᾶν μετά πίστεως· Κεχαριτωμένη χαῖρε, ἡ Χριστόν ὡς νήπιον, ἐν ἀγκάλαις κρατοῦσα, καί φιλοῦσα ἁγνοῖς χείλεσι.

Βαβαί τῆς σῆς προμηθείας Ἁγνή! Σύ γάρ ἐπεσκέψω, διά τῆς Εἰκόνος σου, ὡς Ἄνασσα τοῦ παντός, τήν Φιλοθέου Μονήν, καί νέμεις τοῖς ἐν αὐτῇ, βασιλικῇ σου χειρί χάριν ἄφθονον, καί σώζεις ἐκ πειρασμῶν, Γλυκοφιλοῦσα Παρθένε τούς κράζοντας· Κεχαριτωμένη χαῖρε, ἡ πᾶσιν ἐμφαίνουσα, μητρικῆς σου ἀγάπης, τά σωτήρια δωρήματα.

Τήν σήν μορφήν τήν ὑπέρτιμον, ἐν τῇ σῇ Εἰκόνι, ἐν ἐκπλήξει βλέποντες, ὑμνοῦμέν σου τήν πολλήν, μεγαλοπρέπειαν· ὡς βρέφος γάρ ἐν αὐτῇ, ἐναγκαλίζῃ φιλοῦσα ὡς νήπιον, Παρθένε μητροπρεπῶς, τόν Βασιλέα τῶν ὅλων καί Κύριον· ᾧ καί λάλει οἷα Μήτηρ, ἀγαθά δεόμεθα, ὑπέρ τῶν πιστῶς ὑμνούντων, τῆς Εἰκόνος σου τά θαύματα.

Σκέπην ἀσφαλῆ καί ἔφορον, τήν σήν Θεοτόκε, προστασίαν ἔχοντες, ὑμνοῦμεν πανευλαβῶς, τήν σήν χρηστότητα, καί πίστει εἰλικρινεῖ, Γλυκοφιλοῦσα τῇ θείᾳ Εἰκόνι σου, προσπίπτοντες τάς πολλάς, περί ἡμᾶς σου κηρύττομεν χάριτας, Κεχαριτωμένη Κόρη, μόνη Ἀειπάρθενε, βασιλίς τῶν Ἀγγέλων, καί ἀνθρώπων ἡ βοήθεια.

Σύ τῶν Μοναστῶν προσφύγιον, καί τοῦ Ὄρους Ἄθω, κραταιά ἀντίληψις, καί ταύτης σου τῆς Μονῆς, τοῦ Φιλοθέου Ἁγνή, πλουτούσης περιφανῶς, Γλυκοφιλοῦσα τήν θείαν Εἰκόνα σου, ἑδραίωμα ἀρραγές, καί ἱλαστήριον θεῖον καί ἄφαυστον. Ὅθεν τῇ ἐλεύσει ταύτης, ἑορτήν χαρμόσυνον, συγκροτοῦντες ὑμνοῦμεν, Θεοτόκε τά σά θαύματα.

Τῇ κραταιᾷ προστασίᾳ σου, ἐκ τοῦ Ἄθω Κόρη, τοῦ ἁγίου κλήρου σου, ἐξώθησας ἀληθῶς, στρατόν μισόχριστον· διό σοι χρεωστικῶς, χαριστηρίους αἰνέσεις προσᾴδομεν, χορεῖαι τῶν Μοναστῶν, τάς θαυμαστάς πρός ἡμᾶς ἀντιλήψεις σου, δι'ὧν σώζεις τήν σήν ποίμνην, πάντοτε κηρύττομεν, τῶν πολλῶν σου θαυμάτων, τάς δυνάμεις ἐξαγγέλοντες.

Δόξα. Ἦχος πλ.β'.

Τῶν θυρῶν κεκλεισμένων, ἐπέστης Χριστέ πρός τούς Μαθητάς. Τότε ὁ Θωμᾶς, οἰκονομικῶς οὐχ εὑρέθη μετ'αὐτῶν· ἔλεγε γάρ· Οὐ μή πιστεύσω, ἐάν μή ἴδω κἀγώ τόν Δεσπότην· ἴδω τήν πλευράν, ὅθεν ἐξῆλθε τό αἷμα, τό ὕδωρ, τό βάπτισμα· ἴδω τήν πληγήν, ἐξ ἧς ἰάθη τό μέγα τραῦμα ὁ ἄνθρωπος· ἴδω, πῶς οὐκ ἦν, ὡς πνεῦμα, ἀλλά σάρξ καί ὀστέα. Ὁ τόν θάνατον πατήσας, καί Θωμᾶν πληροφορήσας, Κύριε, δόξα σοι.

Καί νῦν. Τῆς Θεοτόκου.

Τίς ἀξίως ἐξείπει, τῆς πρός ἡμᾶς σου εὐνοίας, τάς σωστικάς ἐκφάνσεις καί δωρεάς, Θεοτόκε Παρθένε; τήν γάρ θείαν Εἰκόνα σου, θαυμαστῶς ποντοπορήσασαν ἡμῖν δεδώρησαι, ὡς θεῖον θησαυρόν, καί σωτηρίας ἐχέγγυον·ἧς τῇ ἀοράτῳ ἐπιστασίᾳ, περιέπεις ἡμᾶς, καί ἀλλόφυλον στρατόν ἀπήλασας, λιμαινόμενον τόν Ὄρος σου· διό διπλῆν ἑορτήν ἄγοντες, τῆς θαυματουργοῦ σου Εἰκόνος τήν ἄφιξιν γεραίρομεν, Γλυκοφιλοῦσα Παναγία, καί τῆς τυραννικῆς ἐπιδρομῆς, τήν λύτρωσιν βοῶντές σοι· Σκέπε ἀεί, καί φύλαττε ἡμᾶς, ὡς προστασία ἡμῶν καί ἔφορος, ὡς ἐπηγγείλω Ὑπερύμνητε.

Εἴσοδος, Φῶς ἱλαρόν, τό Προκείμενον: Ὁ Κύριος ἐβασίλευσεν... καί τά Ἀναγνώσματα.

Γενέσεως τό 'Ανάγνωσμα.

( Κεφ. ΚΗ΄10 )

'Εξῆλθεν 'Ιακώβ ἀπό τοῦ φρέατος τοῦ ὅρκου,καί ἐπορεύθη' εἰς Χαρράν,καί ἀπήντησε τόπῳ,καί ἐκοιμήθη ἐκεῖ·ἔδυ γάρ ὁ ἥλιος. Καί ἔλαβεν ἀπό τῶν λίθων του τόπου,καί ἔθηκε πρός κεφαλῆς αὐτοῦ· καί ἐκοιμήθη ἐν τῷ τόπῳ ἐκείνῳ,καί ἐνυπνιάσθη.Καί ἰδού κλίμαξ ἐστηριγμένη ἐν τῇ γῇ,ἧς ἡ κεφαλή ἀφικνεῖτο εἰς τόν οὐρανόν·καί οἱ Ἄγγελοι τοῦ Θεοῦ ἀνέβαινον καί κατέβαινον ἐπ' αὐτήν·ὁ δέ Κύριος ἐπεστήρικτο ἐπ'αὐτῆς·καί εἶπεν·'Εγώ ὁ Θεός 'Αβραάμ τοῦ πατρός σου,καί ὁ Θεός 'Ισαάκ,μή φοβοῦ.'Η γῆ,ἐφ' ἧς σύ καθεύδεις ἐπ'αὐτῆς,σοί δώσω αὐτήν καί τῷ σπέρματί σου. Καί ἔσται τό σπέρμα σου ὡσεί ἄμμος τῆς γῆς,καί πλατυνθήσεται ἐπί θάλασσαν,καί Λίβα,καί Βορρᾶν,καί ἐπί 'Ανατολάς·καί ἐνευλογηθήσονται ἐν σοί πᾶσαι αἱ φυλαί τῆς γῆς,καί ἐν τῷ σπέρματί σου.Καί ἰδού ἐγώ μετά σοῦ,διαφυλάσσων σε ἐν τῇ ὁδῷ πάσῃ, οὗ ἐάν πορευθῇς·καί ἀποστρέψω σε εἰς τήν γῆν ταύτην·ὅτι οὐ μή σε ἐγκαταλίπω,ἕως τοῦ ποιῆσαί με πάντα ὅσα ἐλάλησά σοι. Καί ἐξηγέρθη 'Ιακώβ ἀπό τοῦ ὕπνου αὐτοῦ,καί εἶπεν·Ὅτι ἔστι Κύριος ἐν τῷ τόπῳ τούτῳ,ἐγώ δέ οὐκ ᾔδειν.Καί ἐφοβήθη καί εἶπεν·'Ως φοβερός ὁ τόπος οὗτος! οὐκ ἔστι τοῦτο,ἀλλ'ἤ οἶκος Θεοῦ·καί αὕτη ἡ πύλη τοῦ οὐρανοῦ.

Προφητείας 'Ιεζεκιήλ τό 'Ανάγνωσμα.

( Κεφ. ΜΓ΄27.ΜΔ΄1 )

Ἔσται ἀπό τῆς ἡμέρας τῆς ὀγδόης καί ἐπέκεινα,ποιήσουσιν οἱ ἱερεῖς ἐπί τό θυσιαστήριον τά ὁλοκαυτώματα ὑμῶν,καί τά τοῦ σωτηρίου ὑμῶν,καί προσδέξομαι ὑμᾶς,λέγει Κύριος Κύριος.Καί ἐπέστρεψέ με κατά τήν ὁδόν τῆς πύλης τῶν 'Αγίων τῆς ἐξωτέρας, τῆς βλεπούσης κατά ἀνατολάς·καί αὕτη ἦν κεκλεισμένη.Καί εἶπε Κύριος πρός με·'Η πύλη αὕτη κεκλεισμένη ἔσται,οὐκ ἀνοιχθήσεται, καί οὐδείς οὐ μή διέλθῃ δι'αὐτῆς·ὅτι Κύριος ὁ Θεός 'Ισραήλ

εἰσελεύσεται δι'αὐτῆς,καί ἔσται κεκλεισμένη.Διότι ὁ ἡγούμενος οὗτος κάθηται ἐπ'αὐτήν,τοῦ φαγεῖν ἄρτον.Κατά τήν ὁδόν τοῦ Αἰλάμ τῆς πύλης εἰσελεύσεται,καί κατά τήν ὁδόν αὐτοῦ ἐξελεύσεται.Καί εἰσήγαγέ με κατά τήν ὁδόν τῆς πύλης τῆς πρός Βορρᾶν, κατέναντι τοῦ οἴκου·καί εἶδον,καί ἰδού πλήρης δόξης ὁ οἶκος Κυρίου.

Παροιμιῶν τό 'Ανάγνωσμα.

( Κεφ. Θ. 1 )

'Η Σοφία ᾠκοδόμησεν ἑαυτῇ οἶκον,καί ὑπήρεισε στύλους ἑπτά. "Εσφαξε τά ἑαυτῆς θύματα,καί ἐκέρασεν εἰς κρατῆρα τόν ἑαυτῆς οἶνον,καί ἡτοιμάσατο τήν ἑαυτῆς τράπεζαν.'Απέστειλε τούς ἑαυτῆς δούλους,συγκαλοῦσα μετά ὑψηλοῦ κηρύγματος,ἐπί κρατῆρα λέγουσα·"Ος ἐστιν ἄφρων,ἐκκλινάτω πρός με.Καί τοῖς ἐνδεέσι φρενῶν εἶπεν·"Ελθετε,φάγετε τόν ἐμόν ἄρτον,καί πίετε οἶνον,ὅν κεκέρακα ὑμῖν.'Απολείπετε ἀφροσύνην,καί ζήσεσθε·καί ζητήσατε φρόνησιν,ἵνα βιώσητε,καί κατορθώσητε σύνεσιν ἐν γνώσει.'Ο παιδεύων κακούς,λήψεται ἑαυτῷ ἀτιμίαν.'Ελέγχων δέ τόν ἀσεβῆ, μωμήσεται ἑαυτόν·οἱ γάρ ἔλεγχοι τῷ ἀσεβεῖ μώλωπες αὐτῷ.Μή ἔλεγχε κακούς,ἵνα μή μισήσωσί σε·ἔλεγχε σοφόν,καί ἀγαπήσει σε.Δίδου σοφῷ ἀφορμήν,καί σοφώτερος ἔσται·γνώριζε δικαίῳ, καί προσθήσει τοῦ δέχεσθαι.'Αρχή σοφίας,φόβος Κυρίου·καί βουλή 'Αγίων,σύνεσις·τό δέ γνῶναι νόμον,διανοίας ἐστίν ἀγαθῆς. Τούτῳ γάρ τῷ τρόπῳ πολύν ζήσεις χρόνον,καί προστετήσεταί σοι ἔτη ζωῆς.

ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ ΙΔΙΟΜΕΛΑ

Ἦχος δ.

Κύριε,τῇ ἀστέκτῳ τῆς σῆς Θεότητος αἴγλῃ,τῶν θυρῶν ἐπέστης οὐσῶν κεκλεισμένων·καί στάς ἐν μέσῳ τῶν Μαθητῶν,τήν πλευράν ἐξεγύμνωσας·καί τραυμάτων σου χειρῶν καί τῶν ποδῶν,τάς ὠτειλάς δεικνύων,ἀθυμίας τήν κατήφειάν τε λύων,σαφῶς ἐφώνησας·

῞Ον τρόπον ἐν ἐμοί καθορᾶτε,ὦ φίλοι,τῆς σαρκός τήν πρόσληψιν, οὐ πνεύματος φέρω φύσιν.Τῷ δέ διστάζοντι Μαθητῇ,προετρέπου ψηλαφῆσαι φρικτῶς,κατειπών·'Ερευνήσας ἅπαντα,δεῦρο λοιπόν μή ἀμφίβαλλε.῾Ο δέ αἰσθόμενος ἐν τῇ χειρί,τῆς σῆς διπλῆς οὐσίας,ἐν φόβῳ ἀνεβόα πιστῶς,τῇ πίστει ἑλκόμενος·῾Ο Κύριος μου καί ὁ Θεός μου,δόξα σοι.

Ἦχος πλ.δ.́

῎Αψαι Θωμᾶ τῆς πλευρᾶς τῇ χειρί,λέγει Χριστός,καί τούς τύπους τῶν ἥλων δεῦρο ψηλάφησον,πίστει ἐρεύνησον,καί γίνου μοι πιστός,καί μή γίνου ἄπιστος.῾Ο δέ Θωμᾶς,τῷ δακτύλῳ ὡς ἥψατο τοῦ Δεσπότου,μέγα ἀνεβόησε·Σύ μου Θεός καί Κύριος,εὔσπλαγχνε,δόξα σοι.

Καί τῆς Θεοτόκου.Ἦχος α.́

Εὐφράνθη τῷ πνεύματι,ἡ τοῦ ῾Οσίου Φιλοθέου Μονή,ἡ φιλόθεος ποίμνη σου,τῇ παραδόξῳ ἐπελεύσει τῆς σῆς Εἰκόνος Γλυκοφιλοῦσα Κόρη·καί ὑπτίαις χερσί,ταύτην δεξαμένη φωνήν αἰνέσεως ἦρέ σοι,τά μεγαλεῖά σου ὑμνοῦσα·ὡς πηγή γάρ χρηστότητος,πηγάζει ἰάματα,καί τάς αἰτήσεις πάντων πληροῖ,ὡς μήτηρ φιλόστοργος. ᾿Αλλ᾿ὦ Πανύμνητε Δέσποινα,σκέπε καί φύλαττε ἡμᾶς ἐπικειμένων δεινῶν,καί σῶσον τάς ψυχάς ἡμῶν.

Ἦχος β.́

῾Ως ἐπέστη Δέσποινα,διά θαλάσσης ἡ Εἰκών σου,ὡσεί ναῦς μυστική κατῆρε,πλήρης θείων ἀγαθῶν·καί ἐν φωτί ἐξαστράπτουσα, χερσίν ὁσίαις ἐπεδόθη,καί χαρᾶς πολλῆς ἔπλησε,τῶν Μοναστῶν ́ τό σύστημα·ὑφ᾿ὧν δορυφορουμένη,ὡς βασίλισσα ἐντεθρόνισται,τῷ τῆς Μονῆς σου ναῷ·ἔνθεν θαύαμτα βρύουσα,καθαγιάζει ψυχάς καί σώματα,καί ἀοράτῳ ἐνεργείᾳ,᾿Αγαρηνῶν στρατόπεδον δυσσεβές,πόρρω διώκει·ὡς θαυμαστή σου Πανάχραντε,ἡ περί ἡμᾶς κηδεμονία·διό αἶνους εὐχαριστίας,Γλυκοφιλοῦσά σοι ᾄδομεν·ὅτι τεῖχος ἀσφαλείας ἡμῖν ὤφθης,καί θερμοτάτη ἀντίληψις.

Δόξα . Ἦχος πλ.δ.

Τῶν θυρῶν κεκλεισμένων,τῶν Μαθητῶν συνηθροισμένων,ἐπέστη ὁ Σωτήρ,οὗ ἦσαν συνηγμένοι·καί στάς ἐν μέσῳ αὐτῶν,λέγει τῷ Θωμᾷ·Δεῦρο ψηλάφησον,καί ἴδε τούς τύπους τῶν ἥλων·Ἔκτεινόν σου τήν χεῖρα,καί ἅψαι τῆς πλευρᾶς μου,καί μή γίνου ἄπιστος, ἀλλά πίστει κήρυξον,τήν ἐκ νεκρῶν μου Ἀνάστασιν.

Καί νῦν. Ὁ αὐτός. Τῆς Θεοτόκου.

Ὡς τοῦ φρικτοῦ μυστηρίου,τῆς τοῦ Λόγου σαρκώσεως διάκονος,Θεοτόκε Ἀειπάρθενε,ξένα καί παράδοξα ἐργάζῃ,εἰς σωτηρίαν ἡμῶν,ἀπείρῳ μητρικῇ χρηστότητι·ἐν τῇ θείᾳ γάρ Εἰκόνι σου,πλοῦτον συμπαθείας ἐκφαίνεις,καταφιλοῦσα ὡς μήτηρ,τόν ἐκ σοῦ σαρκωθέντα Υἱόν καί Λόγον τοῦ Θεοῦ·καί ταύτην ἡμῖν δέδωκας,ὡς θησαύρισμα οὐράνιον,καταλλήλῳ κλήσει,Γλυκοφιλοῦσαν κληθεῖσαν·ἧς τήν ἄφιξιν ἑορτάζοντες βοῶμέν σοι·χαῖρε Κεχαριτωμένη,ὁ Κύριος μετά σοῦ,χαριζόμενος ἡμῖν,διά σοῦ τό μέγα ἔλεος.

Εἰς τόν Στίχον Στιχηρά Ἰδιόμελα, ἕν τῆς Ἑορτῆς καί δύο τῆς Θεοτόκου.

Ἄρχεται ὁ ἀριστερός χορός.

Τῆς Ἑορτῆς. Ἦχος δ.

Ὢ τοῦ παραδόξου θαύματος!ἀπιστία πίστιν βεβαίαν ἐγέννησεν·εἰπών γάρ ὁ Θωμᾶς·Ἐάν μή ἴδω,οὐ μή πιστεύσω·ψηλαφήσας δέ τήν πλευράν,ἐθεολόγει τόν σαρκωθέντα,τόν αὐτόν Υἱόν τοῦ Θεοῦ· ἐγνώρισεν ὡς πεπονθότα σαρκί·ἐκήρυξε τόν ἀναστάντα Θεόν·καί ἐβόησε λαμπρᾷ τῇ φωνῇ·Ὁ Κύριός μου καί ὁ Θεός μου,δόξα σοι.

Καί τῆς Θεοτόκου.

Ἦχος πλ.α΄ Χαίροις ἀσκητικῶν.

Στίχ: Τό πρόσωπόν σου λιτανεύσουσιν.....

Χαίροις Παρθενομῆτορ Ἁγνή,ἡ τόν Σωτῆρα καί Θεόν ὥσπερ νήπιον,κρατοῦσα ἐν ταῖς ἀγκάλαις,καί ἐν μητρῴα στοργῇ,ὡς μήτηρ φιλοῦσα ἁγνοῖς χείλεσι·καί τοῦτο θεώμενοι,τῇ παντίμῳ Εἰκόνι σου,Γλυκοφιλοῦσαν,εὐλαβῶς ὀνομάζομεν,ταύτην Ἄχραντε, ἀνυμνοῦντες τήν δόξαν σου·ἥτις τῇ εὐδοκίᾳ σου,κατῆρεν ἐκ Βύζαντος,ταύτῃ τῇ ποίμνῃ σου ξένως,ὥσπερ ἁγίασμα ἔνθεον·ᾗ πίστει ἑστῶτες,κομιζόμεθα ἀπαύστως,χάριν καί ἔλεος.

Στίχ: Μνησθήσομαι τοῦ ὀνόματός σου....

Χαίρει ἡ Φιλοθέου Μονή,ὥσπερ διάδημα καί γέρας πολύτιμον, δεχθεῖσα τήν σήν Εἰκόνα,Γλυκοφιλοῦσα Ἁγνή,θαύματα τελοῦσαν τῇ σῇ χάριτι·καί ταύτης τήν ἄφεξιν,ἱερῶς ἑορτάζοντες,ἀναβοῶμεν, ἐκ μυχίων σοι Πάναγνε,ὡς προστάτιδι,καί ἐφόρῳ τῆς Ποίμνης σου· Σκέπε ἡμᾶς ἑκάστοτε,ὡς πάλαι ἐξώθησας,Ἀγαρηνῶν δεινόν στῖφος, Ὄρος τό σόν λυμαινόμενον,καί δίδου Παρθένε,φωτισμόν τε καί εἰρήνην,ἡμῖν καί ἔλεος.

Στίχ: Ἄκουσον θύγατερ καί ἴδε.....

Χαίροις ἡ ἐκθαμβοῦσα ἡμᾶς,τούς καθορῶντάς σε φιλοῦσαν ὡς νήπιον,τόν πάντων Θεόν καί Κτίστην,σωματωθέντα ἐκ σοῦ,ἐν τῇ σῇ Εἰκόνι Παντευλόγητε·διό καί βοῶμέν σοι,Παναγία Πανύμνητε·Εἰπέ ὡς Μήτηρ,συμπαθής καί φιλάγαθος,τούτῳ ῥήματα,ὑπέρ τῶν πεποιθότων σοι,ὅπως οἰκτείρῃ ἅπαντας,ἡμᾶς τούς προσπταίοντας,αὐτῷ ἀφρόνως ὁσῶραι,καί σωτηρίας μετάσχωμεν,τῇ σῇ μεσιτείᾳ,ὡς ἡμῖν πάλαι ὑπέσχου Θεογεννήτρια.

Δόξα. Ἦχος πλ.α΄

Φιλάνθρωπε,μέγα καί ἀνείκαστον τό πλῆθος τῶν οἰκτιρμῶν σου·ὅτι ἐμακροθύμησας,ὑπό 'Ιουδαίων ραπιζόμενος,ὑπό 'Αποστόλου ψηλαφώμενος,καί ὑπό τῶν ἀθετούντων σε πολυπραγμονούμενος. Πῶς ἐσαρκώθης;πῶς ἐσταυρώθης ὁ ἀναμάρτητος;ἀλλά συνέτισον ἡμᾶς,ὡς τόν Θωμᾶν βοᾶν σοι·'Ο Κύριός μου καί ὁ Θεός μου,δόξα σοι.

Καί νῦν. 'Ο αὐτός .Τῆς Θεοτόκου.

Φιλάγαθε Δέσποινα,τῆς σῆς εὐεργεσίας αἱ ἀκτῖνες,πανταχόθεν καλύπτουσι,τό περίβλεπτον τοῦτο Ὄρος σου·διό καί αἱ ἐν αὐτῷ Μοναί,τάς θαυμαστάς Εἰκόνας σου,ὡς ἑδραιώματα καί στύλους κατέχουσαι ἀκλόνητοι μένουσιν,ἐν εὐκαιρίαις καί θλίψεσι· μεθ'ὧν καί ὡς λαμπάς φαεινή,Γλυκοφιλοῦσα ἡ περίβλεπτος,μυστικῶς φωταγωγεῖ,τάς ψυχάς καί τάς καρδίας,τῶν προσκυνούντων αὐτήν,καί κατά χρέος ἀνυμνούντων,τήν πρός ἡμᾶς αὐτῆς παράδοξον ἔλευσιν.

Νῦν ἀπολύεις,τό τρισάγιον,καί τά 'Απολυτίκια.

Τῆς 'Εορτῆς.Ἦχος βαρύς.

'Εσφραγισμένου του μνήματος.....

Καί τά τῆς Θεοτόκου.

Ἦχος δ'. Ταχύ προκατάλαβε.

'Ως δώρημα τέλειον,ἐκ Βυζαντίου 'Αγνή,τήν θείαν Εἰκόνα σου,ἡ Φιλοθέου Μονή,ἐδέξατο χαίρουσα·ἥνπερ Γλυκοφιλοῦσαν, προσφυῶς προσφωνοῦσα,χάριν ἀεί καρποῦται,ἐξ αὐτῆς καί βοᾷ σοι·χαῖρε Κεχαριτωμένη,ὁ Κύριος μετά σοῦ.

Ἕτερον.

Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.

Ὡς πολύτιμον γέρας τήν ἁγίαν Εἰκόνα σου, ἡ Μονή Φιλοθέου κεκτημένη ἀγάλλεται· ἐν ταύτῃ γάρ ὁρῶντές σε Ἁγνή, ὡς νήπιον φιλοῦσαν τόν Χριστόν, μεγαλύνομεν, τήν δόξαν σου τήν πολλήν, Παρθένε ἐκβοῶντές σοι· δόξα τοῖς μεγαλείοις σου Ἁγνή, δόξα τῇ συμπαθείᾳ σου, δόξα τῇ πρός ἡμᾶς σου προμηθείᾳ Ἄχραντε.

Ἀ π ό λ υ σ ι ς.

# ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν α' Στιχολογίαν, Κάθισμα.

Ἦχος α' Τοῦ λίθου σφραγισθέντος.

Τῷ φόβῳ τῶν Ἑβραίων, κεκρυμμένων τῶν Μαθητῶν, καί ἐν τῇ Σιών συνηγμένων, εἰσῆλθες πρός αὐτούς Ἀγαθέ· καί ἔστης κεκλεισμένων τῶν θυρῶν, ἐν μέσῳ αὐτῶν χαροποιός, καί ὑπέδειξας αὐτοῖς τάς χεῖρας, καί τῆς ἀχράντου σου πλευρᾶς τούς μώλωπας, λέγων τῷ ἀπιστοῦντι Μαθητῇ· Φέρε τήν χεῖρά σου καί ἐρεύνα, ὅτι αὐτός ἐγώ εἰμί, ὁ διά σέ παθητός.

Ὅμοιον, τῆς Θεοτόκου.

Ἐξέστησαν ἰδόντες τήν ἁγίαν Εἰκόνα σου, ἐπί τῶν κυμάτων ὀρθίαν ἐπιπλέουσαν Ἄχραντε, καί ταύτην εὐλαβῶς οἱ Μονασταί, ἀνήγαγον Ἁγνή τῇ σῇ Μονῇ, ἀνυμνοῦντες τῶν θαυμάτων σου τήν πληθύν, Γλυκοφιλοῦσα κράζοντες· δόξα τῇ πρός ἡμᾶς σου ἀρωγῇ, δόξα τῇ σῇ χρηστότητι, δόξα τῇ πρός ἡμᾶς σου ἀφίξει Δέσποινα.

Μετά τήν β' Στιχολογίαν, Κάθισμα.

Ἦχος α' Τόν τάφον σου Σωτήρ.

Ἐπέστης ἡ ζωή, τῶν θυρῶν κεκλεισμένων, Χριστέ τοῖς Μαθηταῖς, καί πλευράν ὑπεδείκνυς, καί χεῖράς σου καί πόδας σου, τήν ἐκ τάφου σου Ἔγερσιν, προπιστούμενος· ἀλλ' ὁ Θωμᾶς οὐχ εὑρέθη· ὅθεν ἔλεγεν· Ἤν μή θεάσωμαι τοῦτον, οὐ πείθομαι τοῖς λόγοις ὑμῶν.

Ὅμοιον, τῆς Θεοτόκου.

Κρατοῦσα ταῖς χερσί, τόν Δεσπότην τῶν ὅλων, ὡς νήπιον Ἁγνή, οἷα Μήτηρ γλυκεῖα, καί τοῦτον περιέπουσα, καί φιλοῦσα

γλυκύτατα,αύτοῦ λάλησον,ἐν τοῖς ὠσί Θεοτόκε,θεῖα ρήματα, ὑπέρ ἡμῶν συμπαθείας,θερμῶς δυσωποῦμέν σε.

Μετά τόν Πολυέλεον,Κάθισμα.

Ἦχος α. Τόν τάφον σου Σωτήρ.

Ἰδών μου τήν πλευράν,καί τάς τρήσεις τῶν ἥλων,Θωμᾶ,τί ἀπιστεῖς,τῇ ἐμῇ Ἀναστάσει; ὁ Κύριος ἔλεγεν,ἀναστάς ἐκ τοῦ μνήματος,ὀπτανόμενος,τοῖς Ἀποστόλοις ἀρρήτως·ὁ δέ Δίδυμος, πεισθείς ἐβόα τῷ Κτίστῃ·Θεός μου εἶ καί Κύριος.

Ὅμοιον, τῆς Θεοτόκου.

Ἀγάλλου ἡ Μονή,Φιλοθέου πλουτοῦσα,ὡς θεῖον θησαυρόν τήν μορφήν τήν ἁγίαν,τῆς μόνης Θεομήτορος,ἐν Εἰκόνι καί βόησον· Ἀπειρόγαμε,Γλυκοφιλοῦσα ὑμνοῦμεν,σέ τήν λύσασαν, Ἀγαρηνῶν τῆς δουλείας,τό Ὄρος τοῦ Ἄθωνος.

Τό α. ἀντίφωνον τοῦ δ. ἥχου καί τό
Προκείμενον:

Ἐπαίνει Ἱερουσαλήμ τόν Κύριον,αἴνει τόν Θεόν σου Σιών.

Στίχ: Ὅτι ἐνίσχυσε τούς μοχλούς τῶν πυλῶν σου.

Εὐαγγέλιον κατά Ματθαῖον,τό Α. Ἑωθινόν.

Ἀνάστασιν Χριστοῦ θεασάμενοι....

Ψάλλομεν τόν Ν. ψαλμόν καί προσκυνοῦμεν τό Ἅγιον Εὐαγγέλιον.

Δόξα. Ταῖς τῶν Ἀποστόλων...
Καί νῦν. Ταῖς τῆς Θεοτόκου....

Στίχ: 'Ελέησόν με ὁ θεός κατά τό μέγα....

'Αναστάς ὁ 'Ιησοῦς ἀπό τοῦ τάφου....

'Ο 'Ιερεύς: Σῶσον ὁ θεός ....

Εἶτα οἱ κανόνες,τῆς Κυριακῆς μετά τῶν Είρμῶν εις η: καί τῆς Θεοτόκου εἰς στ:

Τῆς 'Εορτῆς.

Ποίημα 'Ιωάννου Μοναχοῦ.

'Ωδή α: Ἦχος α: 'Ο Εἰρμός.

" Ἄσωμεν πάντες λαοί,τῷ ἐκ πικρᾶς δουλείας,Φαραώ τόν 'Ισραήλ ἀπαλλάξαντι,καί ἐν βυθῷ θαλάσσης,ποδί ἀβρόχως ὁδηγήσαντι, ᾠδήν ἐπινίκιον,ὅτι δεδόξασται.

Σήμερον ἔαρ ψυχῶν·ὅτι Χριστός ἐκ τάφου,ὥσπερ ἥλιος ἐκλάμψας τριήμερος,τόν ζοφερόν χειμῶνα ἀπήλασε τῆς ἁμαρτίας ἡμῶν· αὐτόν ἀνυμνήσωμεν,ὅτι δεδόξασται.

'Η βασιλίς τῶν ὡρῶν,τῇ λαμπροφόρῳ ἡμέρᾳ,ἡμερῶν τε βασιλίδι φανότατα,δορυφοροῦσα τέρπει,τόν ἔγκριτον τῆς 'Εκκλησίας λαόν,ἀπαύστως ἀνυμνοῦσα,τόν ἀναστάντα Χριστόν.

Πύλαι θανάτου Χριστέ,οὐδέ τοῦ τάφου σφραγῖδες,οὐδέ κλεῖθρα τῶν θυρῶν σοι ἀντέστησαν·ἀλλ'ἐξαναστάς ἐπέστης,τοῖς φίλοις σου εἰρήνην,Δέσποτα δωρούμενος,τήν πάντα νοῦν ὑπερέχουσαν.

Κανών τῆς Θεοτόκου οὗ ἡ ἀκροστιχίς:

" Ἄδω Ματρός θεοῖο Γλυκοφιλούσης γλύκιον εἶδος. Γερασίμου "

'Ωδή α΄. Ἦχος α΄. 'Αναστάσεως ἡμέρα.

'Αναστάσεως ἡμέραν,τοῦ Σωτῆρος Χριστοῦ,ἄγοντες χαρμοσύνως,δεῦτε συμφώνως οἱ πιστοί,Γλυκοφιλούσης τῆς σεπτῆς, Εἰκόνος φαιδρῶς,τήν ἄφιξιν μέλψωμεν,Μοναστῶν τά συστήματα.

Δόξαν κέκτηται καί γέρας,τήν σεπτήν σου μορφήν,Κόρη Γλυκοφιλοῦσα,τοῦ Φιλοθέου ἡ Μονή,καί ἐπαγάλλεται ἐν σοί,ὑμνοῦσα ἀεί,τήν δόξαν σου Ἄχραντε,καί τά θεῖά σου θαύματα.

'Ως κατῆρε Θεοτόκε,ξεοντρόπως ἡμῖν,πάλαι ἐκ Βυζαντίου, ἡ σή Εἰκών ἡ θαυμαστή,θάμβους ἔπλησεν ἡμᾶς,καί ταύτην φαιδρῶς,ἀνήγαγον Δέσποινα,τῇ Μονῇ σου ἡμνοῦντές σε.

Μεγαλύνομεν Παρθένε,Θεοτόκε 'Αγνή,πάντες τά μεγαλεῖα, Γλυκοφιλοῦσα τῆς σεπτῆς,Εἰκόνος σου καί θαυμαστῆς·πηγάζει καί γάρ,ἰάματα ἄφθονα,καί θαυμάτων ἐνέργειαν.

'Ανελόμενος Παρθένε,ταῖς χερσίν εὐλαβῶς,πάλαι ἐκ τῆς θαλάσσης,τήν σήν Εἰκόνα τήν σεπτήν,ὁ ἡγέτης τῆς Μονῆς,ἐν πίστει θερμῇ,πάντας συνεκάλεσε,πρός ὕμνον τῆς δόξης σου.

Τῇ θερμῇ σου προστασίᾳ,στρατιά δυσσεβής,πάλαι ἐξεδιώχθη,ἀπό τοῦ κλήρου σου 'Αγνή,τῶν τῆς Ἄγαρ υἱῶν·διό σοι πιστῶς,ᾠδήν χαριστήριον,ἐπί τούτῳ σοί ᾄδομεν.

Καταβασία: 'Αναστάσεως ἡμέρα....

Τῆς 'Εορτῆς.

'Ωδή γ΄. 'Ο Εἱρμός.

" Στερέωσόν με Χριστέ,ἐπί τήν πέτραν τῶν ἐντολῶν σου,καί φώτισόν με φωτί τοῦ προσώπου σου·οὐκ ἔστι γάρ ἅγιος,πλήν σου φιλάνθρωπε.

Καινούς ἀντί παλαιῶν,ἀντί φθαρτῶν δέ ἀφθάρτους,διά Σταυροῦ σου Χριστέ,τελέσας ἡμᾶς,ἐν καινότητι ζωῆς πολιτεύεσθαι, ἀξίως προσέταξας.

Ἐν τάφῳ περικλεισθείς,τῇ περιγράπτῳ σαρκί σου,ὁ ἀπερίγραπτος,Χριστέ ἀνέστης·θυρῶν κεκλεισμένων δέ ἐπέστης,σοῦ τοῖς Μαθηταῖς,παντοδύναμε.

Τούς μώλωπάς σου Χριστέ,οὕς ἑκουσίως ὑπέστης,ὑπέρ ἡμῶν τοῖς Μαθηταῖς σου φυλάξας μαρτύριον,τῆς σῆς ἔδειξας,ἐνδόξου Ἀναστάσεως.

Τῆς Θεοτόκου.

Ὠδή γ΄. Δεῦτε πόμα πίωμεν.

Ρεῖθρον θεῖον ἔβλυσεν Ἁγνή,ἁγιάσματος θείου ἔνθα περ τέθειται,Γλυκοφιλοῦσα ἡ σή,Εἰκών ἁγιάζον τάς ψυχάς,ἡμῶν καί τά σώματα.

Ὅλη Φιλοθέου ἡ Μονή,ἐξεχύθη,δεχθεῖσα ὥσπερ βασίλισσαν, Γλυκοφιλοῦσα τήν σήν,ἁγίαν Εἰκόνα καί ᾠδαῖς,εὐφήμοις σε ὕμνησε.

Σύστημα καί στράτευμα δεινῶν,ἀπηλάθη Παρθένε ἀπό τοῦ Ὄρους σου,τῇ θαυμαστῇ σου ροπῇ,καί ᾔνεσαν πάντες Μοναστοί, τήν δόξαν σου Ἄχραντε.

Θαύματα πηγάζουσα Ἁγνή,ἡ σεπτή σου Εἰκών τε καί χαριτόβρυτος,Γλυκοφιλοῦσα τήν σήν,ἐδήλωσε πρός τήν σήν Μονήν, ροπήν τῷ μονάζοντι.

Ἔνθους ἐμεγάλυνεν Ἁγνή,ὅτε ἤκουσε Κόρη τῶν ὑποσχέσεων, ἐν ἀοράτῳ φωνῇ,τήν σήν πρός ἡμᾶς σου ἀρωγήν,ὁ Ἰωαννίκιος.

Ὄρος τό τοῦ Ἄθωνος πιστῶς,ἐγκαυχᾶται ταῖς θείαις Ἁγνή Εἰκόσι σου,καί Φιλοθέου μεθ'ὧν,σκιρτᾷ ἡ Μονή τῷ ἱερῷ,Γλυκοφιλοῦσα τύπῳ σου.

Καταβασία: Δεῦτε πόμα....

Κοντάκιον, τῆς Θεοτόκου.

Ἦχος πλ.δ. Τῇ ὑπερμάχῳ.

Γλυκοφιλούσης τήν Εἰκόνα τήν ὑπέρτιμον
Τήν καταπλεύσασαν ἡμῖν ἀπό τοῦ Βύζαντος
Προσελθόντες προσκυνήσωμεν ἐκβοῶντες·
Οἷα Μήτηρ συμπαθής τοῦ Παντοκράτορος
Ἡμῖν δίδου οἰκτιρμῶν σου τά δωρήματα
Τοῖς κραυγάζουσι,χαῖρε πάντων βασίλισσα.

Ὁ Οἶκος.

Ἄγγελοι ἀοράτως,Κόρη ἐδορυφόρουν,τήν σήν Γλυκοφιλοῦσα Εἰκόνα,ὅτε ἐκ Βύζαντος θαυμαστῶς,ποντοπορήσασα ἧκεν ἐν Ἄθωνι,καί προσωρμίσθη τῇ Μονῇ,τοῦ Φιλοθέου ἐκβοῶσῃ·

χαῖρε Χριστόν ἀγκαλοφοροῦσα
χαῖρε αὐτόν ἡ γλυκοφιλοῦσα
χαῖρε παραδόξως ἡμῖν καταπλεύσασα
χαῖρε θεῖον ὕδωρ ἐν τῷ τόκῳ ἐκβλύσασα
χαῖρε ὅτι ὡς βασίλισσα παραγέγονας ἡμῖν
χαῖρε ὅτι ἐξωστράκισας τόν στρατόν τόν δυσσεβῆ
χαῖρε τοῦ Φιλοθέου τῆς Μονῆς θεῖον κλέος
χαῖρε παντός τοῦ Ὄρους προστασία καί σθένος
χαῖρε πηγή πλουσίας χρηστότητος
χαῖρε λιμήν ἡμῶν ἀκλυδώνιστος

χαῖρε δι'ἧς πᾶς ὁ Ἄθως χορεύει
χαῖρε δι'ἧς πᾶν δεινόν ἀποτρέπει

χαῖρε πάντων βασίλισσα.

Ἡ Ὑπακοή. Ἦχος πλ.β.

Ὡς ἐν μέσῳ τῶν μαθητῶν σου παρεγένου Σωτήρ,τήν εἰρήνην διδούς αὐτοῖς,ἐλθέ καί μεθ'ἡμῶν,καί σῶσον ἡμᾶς.

Κάθισμα τῆς Ἑορτῆς.

Ἦχος πλ.α. Τόν συνάναρχον Λόγον.

Μεθ'ἡμέρας ἐπέστης ὀκτώ Φιλάνθρωπε,τῶν θυρῶν κεκλεισμένων,τοῖς ἱεροῖς Μαθηταῖς,καί Θωμᾶς τήν σήν πλευράν ὁμοῦ καί μώλωπας,τῶν χειρῶν καί τῶν ποδῶν,ἐψηλάφισε βοῶν·Σύ μου ὑπάρχεις Οἰκτίρμόν,Θεός καί Κτίστης παρέχων,πᾶσι πιστοῖς τό μέγα ἔλεος.

Τῆς Θεοτόκου,ὅμοιον.

Γλυκασμόν ἡ μορφή σου καί θεῖον ἔλεος,Γλυκοφιλοῦσα πηγάζει καί μητρικούς οἰκτιρμούς·διό τήν ἔλευσιν αὐτῆς πανηγυρίζοντες,ἐκβοῶμεν ἐκ ψυχῆς·ὥσπερ ἐξώθησας ποτέ,τῆς Ἄγαρ τούς ἀπογόνους,οὕτω ἡμᾶς διατήρει,ἐκ τοῦ ἀλάστορος ἀπήμονας.

Τῆς Ἑορτῆς.

Ὠδή δ. Ὁ Εἱρμός.

" Μέγα τό μυστήριον,τῆς σῆς Χριστέ οἰκονομίας! τοῦτο γάρ ἄνωθεν προβλέπων,θεοπτικῶς ὁ Ἀββακούμ·Ἐξῆλθες ἐβόα σοι, εἰς σωτηρίαν λαοῦ σου φιλάνθρωπε.

Χολῆς μέν ἐγεύσατο,τήν πάλαι γεῦσιν ἰώμενος·νυνί δέ σύν κηρίῳ μέλιτος,τοῦ φωτισμοῦ μεταδιδούς,Χριστός τῷ Προπάτορι,καί τῆς αὐτοῦ γλυκείας μεθέξεως.

Χαίρεις ἐρευνώμενος·διό φιλάνθρωπε πρός τοῦτο,προτρέπεις τόν Θωμᾶν,προτείνων διαπιστοῦντι τήν πλευράν,τῷ κόσμῳ πιστούμενος,τήν σήν Χριστέ τριήμερον Ἔγερσιν.

Πλοῦτον ἀρυσάμενος,ἐκ θησαυροῦ τοῦ ἀσυλήτου,τῆς θείας Εὐεργέτα,λόγχη διανοιγείσης σου πλευρᾶς,σοφίας καί γνώσεως, ἀναπιμπλᾷ τόν κόσμον ὁ Δίδυμος.

Σοῦ ἡ παμμακάριστος,ὑμνεῖται γλῶσσα ὦ Δίδυμε·πρώτη γάρ εὐσεβῶς κηρύττει τόν ζωοδότην Ἰησοῦν,Θεόν καί Κύριον, ἐκ τῆς ἀφῆς πλησθεῖσα τῆς χάριτος.

Ὠδή δ΄. Ἐπί τῆς θείας φυλακῆς.

Ἰδόντες Κόρην τήν σεπτήν,Εἰκόνα σου οἱ Μονασταί,ἐπί τῶν ὑδάτων ὀρθίαν ἐρχομένην ἔφριξαν,καί ὁμοφώνως ἔκραξαν· Ὡς θαυμαστή σου ἡ ἄφιξις ὄντως,τοῖς ταπεινοῖς σου ἱκέταις ὑπερύμνητε.

Ὁλολαμπής ἡ σή μορφή,Γλυκοφιλοῦσα Μαριάμ,ἧκε καταυγάζουσα πάντων Κόρη τά νοήματα,καί προσπεσών ἀνέλαβε,ταύτην ἐκ τῶν ὑδάτων Παρθένε,ὁ θεοφόρος Ἡγούμενος δοξάζων σε.

Γλυκεῖα ὄντως καί τερπνή,ἡ παναγία σου μορφή,ἐν τῇ σῇ Εἰκόνι ὁρᾶται Παναγία Δέσποινα·ἐν ταύτῃ γάρ ὡς νήπιον,ἀσπάζῃ τόν παντέλειον Λόγον,ἔνθεν καί κλῆσιν κατάλληλον προσείληφε.

Λαμπάδα οἷα φαεινήν,τοῦ Φιλοθέου ἡ Μονή,ἔνδον κεκτημένη Παρθένε τήν λαμπράν Εἰκόνα σου,φωτί ταύτης λαμπρύνεται, καί πᾶσι Γλυκοφιλοῦσα κηρύττει,τήν τῶν θαυμάτων αὐτῆς

χάριν ἀέναον.

Ὕμνον ἑόρτιον Ἁγνή, καί χαριστήριον ᾠδήν, ᾄδομεν τῇ σῇ προστασίᾳ Παναγία Δέσποινα, ὅτι ἡμᾶς ἀπήλλαξας, πικρᾶς ἐκ κατοχῆς βαρβαρώδους, ἐξ ἀλλοτρίου στρατοῦ ὡς ἡμῶν ἔφορος.

Κλαίουσα πάλαι ἡ γυνή, καί εὐχομένη ἐκ ψυχῆς, ἔβαλε τήν σήν ἐν θαλάσσῃ Εἰκόνα Πανάχραντε, καί ᾕνεσε τήν δόξαν σου, ὡς ἐθεάσατο ταύτην εὐπλοοῦσαν, καί τήν πορείαν ποιοῦσαν πρός τόν Ἄθωνα.

Καταβασία: Ἐπί τῆς θείας φυλακῆς....

Τῆς Ἑορτῆς.

Ὠδή ε΄. Ὁ Εἱρμός.

" Ἐκ νυκτός ὀρθρίζοντες ὑμνοῦμέν σε Χριστέ, τόν τῷ Πατρί συνάναρχον, καί Σωτῆρα τῶν ψυχῶν ἡμῶν· τήν εἰρήνην τῷ κόσμῳ, παράσχου φιλάνθρωπε.

Ἐπιστάς τοῖς Φίλοις ἀθυμοῦσιν ὁ Σωτήρ, τῇ παρουσίᾳ ἅπασαν, ἀπελαύνει τήν κατήφειαν, καί σκιρτᾶν διεγείρει, τῇ Ἀναστάσει αὐτοῦ.

Ὢ τῆς ἀληθῶς ἐπαινουμένης τοῦ Θωμᾶ, φρικτῆς ἐγχειρήσεως! τολμηρῶς γάρ ἐψηλάφησε τήν πλευράν, τήν τῷ θείῳ πυρί ἀπαστράπτουσαν.

Ἀπιστίαν πίστεως γεννήτριαν ἡμῖν, τήν τοῦ Θωμᾶ ἀνέδειξας· σύ γάρ πάντα τῇ σοφίᾳ σου, προνοεῖς συμφερόντως, Χριστέ ὡς φιλάνθρωπος.

Τῆς Θεοτόκου.

Ὠδή ε΄. Ὀρθρίσωμεν ὄρθρου.

'Ορθρίζοντες ὄρθρου βαθέος,τῇ τοῦ Χριστοῦ 'Αναστάσει, Παρθένε Γλυκοφιλοῦσα,τά σά πολλά θαυμάσια,καί τήν θερμήν ἀντίληψιν,τήν πρός Μονήν σου κηρύττομεν.

Φιλεῖς μητρικῇ ἐν ἀγάπῃ,τόν σόν Υἱόν ὥσπερ βρέφος,τόν πάντων Θεόν καί Κτίστην·ὤ δόξης ἧς ἠξίωσαι!Γλυκοφυλοῦσα Δέσποινα,ἥν ἐν τῇ Εἰκόνι σου βλέπομεν.

'Ισχύν πᾶς προσπίπτων λαμβάνει,καί εὐφροσύνην ἁγίαν, Παρθένε Γλυκοφιλοῦσα,ἐκ τῆς σεπτῆς Εἰκόνος σου,καί μεγαλύνει Δεσποινα,τάς σάς δυναστείας καί χάριτας.

Λυχνία καθάπερ ὁρᾶται,Γλυκοφιλοῦσα Παρθένε Εἰκών σου ἡ παναγία,ἐν "Ορει τοῦ "Αθωνος,τοῖς πᾶσι φωταυγίζουσα,τῶν σῶν θαυμασίων τάς χάριτας.

'Ολόφωτε θρόνε Κυρίου,Γλυκοφιλοῦσα Παρθένε,πῶς εἴπωμεν τήν σήν χάριν;ὅτι ἐξωστράκισας,στρατόν τόν μισόχριστον,πάλαι ἐκ τοῦ "Ορους τοῦ "Αθωνος.

'Υμνοῦντες τήν δόξαν σου Κόρη,τήν σήν ἁγίαν Εἰκόνα ἐδέχθημεν ἐκ θαλάσσης,καί ὕδωρ ἡδύτατον,ὡς θεῖον ἁγίασμα, ἔνθα αὕτη τέθειται ἔβλυσε.

Καταβασία: 'Ορθρίσωμεν ὄρθρου....

Τῆς 'Εορτῆς.

'Ωδή στ.' 'Ο Εἱρμός.

" Τόν Προφήτην διέσωσας,ἐκ τοῦ κήτους Φιλάνθρωπε·κἀμέ τοῦ βυθοῦ τῶν πταισμάτων,ἀνάγαγε δέομαι.

Τόν Θωμᾶν οὐ κατέλιπες,βαπτιζόμενον Δέσποτα,βυθῷ ἀπιστίας παλάμας,προτείνας εἰς ἔρευναν.

'Ο Σωτήρ ἡμῶν ἔλεγε·Ψηλαφῶντές με ἴδετε,ὀστέα καί σάρκα φοροῦντα·ἐγώ οὐκ ἠλλοίωμαι.

Τήν πλευράν ἐψηλάφησε,καί πιστεύσας ἐπέγνωκε,Θωμᾶς μή παρών σου τῇ πρώτῃ,εἰσόδῳ Σωτήρ ἡμῶν.

Τῆς Θεοτόκου.

'Ωδή στ.' Κατῆλθες ἐν τοῖς κατωτάτοις.

Συνῆλθε,πᾶς τῶν Μοναστῶν ὁ χορός,σύν τῷ θείῳ 'Ηγουμένῳ Παρθένε,καί πίστει καί εὐλαβείᾳ θερμῇ,ἀνελόμενοι,τήν ἁγίαν σου μορφήν,ἀνήγαγον τῇ Μονῇ σου.

'Ηνίκα,ἐν τῷ ἱερῷ σου ναῷ,ἐνεθρόνισαν ὡς ἄνασσαν Κόρη, Εἰκόνα Γλυκοφιλοῦσα τήν σήν,ἔρρει ἄφθονος,ἐξ αὐτῆς ὡς ἀληθῶς,τῶν θαυμάτων ἡ χάρις.

Συνέσει,καί ἐν μεταγνώσει θερμῇ,προσπεσόντες τῇ Εἰκόνι σου Κόρη,οἱ πρώην διασφαλέντες κακῶς,χάριν εὕραντο,καί μετήγαγον αὐτήν,εὐλαβῶς τῇ Μονῇ σου.

Γλυκεῖα,καί ἐν μητρικῇ τῇ στοργῇ,καθορᾶσαι τόν Υἱόν σου φιλοῦσα,Παρθένε πάντας ἐκπλήττεις ἡμᾶς,ὅθεν Δέσποινα, τήν ἁγίαν σου μορφήν,Γλυκοφιλοῦσαν καλοῦμεν.

Λυμαίνων,οἷα μονιός νοητός,ὁ στρατός 'Αγαρηνῶν τόν σόν κλῆρον,Παρθένε τῇ ἀντιλήψει τῇ σῇ,πόρρω βέβληται,καί ἐρρύσθημεν 'Αγνή,τῆς αὐτοῦ δυναστείας.

'Υψόθεν,τήν τοῦ Φιλοθέου Μονήν,ὡς φιλόθεόν σου Μάνδραν ἁγίαν,Παρθένε Γλυκοφιλοῦσα 'Αγνή,περιφύλαττε,προσκυνοῦσαν εὐλαβῶς,τήν σεπτήν σου Εἰκόνα.

Καταβασία: Κατῆλθες ἐν τοῖς κατωτάτοις...

Τῆς 'Εορτῆς.

Κοντάκιον. Ἦχος πλ.δ΄.

Τῇ φιλοπράγμονι δεξιᾷ, τήν ζωοπάροχόν σου πλευράν, ὁ Θωμᾶς ἐξηρεύνησε Χριστέ ὁ Θεός· συγκεκλεισμένων γάρ τῶν θυρῶν ὡς εἰσῆλθες, σύν τοῖς λοιποῖς Ἀποστόλοις ἐβόα σοι· Κύριος ὑπάρχεις καί Θεός μου.

Ὁ Οἶκος.

Τίς ἐφύλαξε τήν τοῦ Μαθητοῦ παλάμην τότε ἀχώνευτον, ὅτε τῇ πυρίνῃ πλευρᾷ προσῆλθε τοῦ Κυρίου; τίς ἔδωκε ταύτῃ τόλμαν, καί ἴσχυσε ψηλαφῆσαι φλόγεον ὀστοῦν; πάντως ἡ ψηλαφηθεῖσα· εἰμή γάρ ἡ πλευρά δύναμιν ἐχορήγησε πηλίνῃ δεξιᾷ, πῶς εἶχε ψηλαφῆσαι παθήματα, σαλεύσαντα τά ἄνω καί τά κάτω; Αὕτη ἡ χάρις Θωμᾷ ἐδόθη, ταύτην ψηλαφῆσαι, Χριστῷ δέ ἐκβοῆσαι· Κύριος ὑπάρχεις καί Θεός μου.

Συναξάριον τοῦ Μηναίου, εἶτα τό παρόν.

Τῇ αὐτῇ ἡμέρᾳ, Κυριακῇ δευτέρᾳ ἀπό τοῦ Πάσχα, τά ἐγκαίνια ἑορτάζομεν τῆς Χριστοῦ Ἀναστάσεως, καί τήν τοῦ ἁγίου Ἀποστόλου Θωμᾶ ψηλάφησιν.

Στίχοι.

Εἰ νηδύος κλεῖς, ἥ τάφου μή κωλύει,
Σήν Σῶτερ ὁρμήν, κλεῖς θυρῶν πῶς κωλύσει;

Τῇ αὐτῇ ἡμέρᾳ μνήμην ποιούμεθα τῆς ἀπό θαλάσσης παραδόξου ἐλεύσεως τῆς θαυματουργοῦ Εἰκόνος τῆς Ὑπεραγίας Θεοτόκου τῆς ἐπιλεγομένης " Γλυκοφιλούσης ", ἥτις θαυμασίως κατευωδώθη πρός τήν καθ' ἡμᾶς ἱεράν Μονήν τοῦ Ὁσίου Φιλοθέου, ἐπί τῆς βασιλείας Θεοφίλου τοῦ Εἰκονομάχου.

Στίχ: Πηγή δωρεῶν Γλυκοφιλοῦσα Κόρη
'Αφῖκται ἡμῖν ἡ θαυμαστή Εἰκών σου.

Ματρός θεοῖο γλυκυδερκῆ ἐν τύπῳ μορφήν ὁρῶμεν.

'Εν τοῖς χρόνοις Θεοφίλου τοῦ Εἰκονομάχου βασιλέως,ἦν τις Πατρίκιος Συμεών τόὔνομα,εἷς ὧν τῆς Συγκλήτου,ὅστις εἶχε γυναῖκα εὐλαβῆ καί ἐνάρετον,Βικτωρίαν καλουμένην.Αὕτη ἡ ἀοίδιμος γυνή ἐφύλαττεν εις τόν οἶκον αὐτῆς τήν περί ἧς ὁ λόγος θαυμαστήν Εἰκόνα τῆς Γλυκοφιλούσης.Οἱ δέ ἐυσσεβεῖς Εἰκονομάχοι ἐποίουν τότε ἀκριβῆ ἔρευναν πανταχοῦ,ὅπως εὕρωσιν ἁγίας Εἰκόνας,καί παραδώσωσιν αὐτάς τῷ πυρί,οἱ τοῦ αἰωνίου πυρός ὑπεύθυνοι.Τότε ἡ ρηθεῖσα τιμία γυνή Βικτωρία, βιαζομένη ὑπό τοῦ ἀνδρός αὐτῆς,ὡς Εἰκονομάχου κἀκείνου,ἵνα παραδώσωσι τοῖς ζητοῦσι καί ταύτην τήν ἁγίαν Εἰκόνα,ἠναγκάσθη ἵνα ἀποξενώσῃ αὐτήν ἐκ τοῦ οἴκου της.Καί θεόθεν φωτισθεῖσα,ἔλαβεν αὐτῆς ἐν ταῖς χερσίν αὐτῆς,καί καταβᾶσα εις τόν πλησίον τοῦ οἴκου αὐτῆς αἰγιαλόν,καί καταφιλήσασα αὐτήν μετά πόνου καί δακρύων πολλῶν,καί ἐπικαλεσαμένη τήν Δέσποιναν Θεοτόκον,ὅπως,οἷς οἶδε τρόποις,διαφυλάξῃ αὐτήν ἀσινῆ,ἔβαλεν αὐτήν εις τήν θάλασσαν,ἐλπίζουσα,ὅτι καί πάλιν θέλει ἀπολαύσῃ αὐτήν,μετά τήν μανίαν τῆς Εἰκονομαχίας.'Η δέ ἁγία Εἰκών, σταθεῖσα ὀρθία,ἔπλεε θαυμασίως ἐπί τά ὕδατα·καί οὕτω,ἡ μέν γυνή προσκυνήσασα αὐτήν,ὑπέστρεψεν εις τόν οἶκον αὐτῆς,εὐχαριστοῦσα τήν Θεομήτορα.'Η δέ ἁγία Εἰκών διαπλεύσασα θαυμασίως τό πέλαγος τοῦ Μαρμαρᾶ,καί 'Ελλήσποντον καί τό Αἰγαῖον,προσωρμίσθη εις τό Ἅγιον Ὄρος,εις τόν λιμένα τῆς ἱερᾶς Μονῆς τοῦ Φιλοθέου,ἐκεῖ ὅπου εὑρίσκεται ἄχρι τῆς σήμερον τό ἁγίασμα,καί ἀπεκαλύφθη τῷ 'Ηγουμένῳ,ἵνα καταβῇ καί ὑποδεχθῇ αὐτήν.'Ο δέ 'Ηγούμενος χαρᾶς ἀπείρου πλησθείς,διά τήν θείαν Εἰκόνα ἐξαστάπτουσαν θεῖον φῶς,ἐδέχθη αὐτήν ὁ 'Ηγούμενος εις τάς χεῖρας αὐτοῦ:καί ἀφοῦ ἐξῆλθε τῆς θαλάσσης, ὤ τοῦ θαύματος!ἀνέβλυσε τό ρηθέν ἁγίασμα ἐν ᾧ τόπῳ ἔνθα τό

πρῶτον ἐστάθη ἡ ἁγία Εἰκών, ἰαματικόν πάσης νόσου, καθάπερ ἄχρι τῆς σήμερον ὁρᾶται. Ἔνθεν ἐν ψαλμοῖς καί ὕμνοις, καί μετά φώτων καί θυμιαμάτων, ἀνήγαγοναὐτήν εἰς τόν ἱερόν Μοναστήριον, καί ἔστησαν ἐν ᾧ τόπῳ ἵσταται μέχρι τῆς σήμερον. Ἀπό τότε δέ μέχρι τοῦ νῦν, ἕκαστον ἔτος, τῇ Δευτέρᾳ τῆς Διακαινησίμου εἰς ἀνάμνησιν τοῦ θαύματος, τελεῖται ἐκεῖ εἰς τό ἁγίασμα, λιτανεία καί Ἁγιασμός. Ἄδεται δέ καί λόγος, ὅτι καί αὕτη ἡ ἁγία Εἰκών εἶναι μία ἐκ τῶν ἑβδομήκοντα, ἅς ἱστόρησεν ὁ Εὐαγγελιστής Λουκᾶς, ἔχουσα τοιαύτην χάριν, ὥστε ἄν ἀσκαρδαμυκτί θεωρήσῃ τις αὐτήν, φόβος ἀληθῶς καί τρόμος καταλαμβάνει αὐτόν, ὅσα δέ θαύματα ἐτελέσθησαν δι'αὐτῆς, εἶναι σχεδόν ἀδύνατον νά περιγράψῃ τις, ὀλίγα δέ τινα ἀρκούμεθα νά γράψωμεν πρός πίστωσιν τῶν πολλῶν, καί μάλιστα ὅσα εἶδον πολλοί ἐκ τῶν ζώντων εἰσέτι.

Α΄. Μετά παρέλευσιν χρόνων τῆς εἰς τήν Μονήν καταθέσεως τῆς ἁγίας ταύτης Εἰκόνος, Στέφανος ὁ Κράλης τῆς Σερβίας, ἐπαναστάς τῇ τῶν Ρωμαίων βασιλείᾳ ἐκυρίευσε τήν Μακεδονίαν καί τήν Θεσσαλονίκην, ὁμοῦ καί τό Ἅγιον Ὄρος· ἐντεῦθεν καί εἰς τήν Μονήν ταύτην τοῦ Φιλοθέου κατῴκησαν μοναχοί Βούλγαροι, οἵτινες κατά τήν ἀρχαίαν συνήθειαν, ἐξήρχοντο λιτανεύοντες τῇ Δευτέρᾳ τῆς Διακαινησίμου, καί κατήρχοντο εἰς τό ἁγίασμα· εἶχον γάρ οὗτοι θερμήν εὐλάβειαν πρός τήν ἁγίαν τῆς Γλυκοφιλούσης Εἰκόνα, τήν ὁποίαν καί μετέφερον ἐκεῖ ψάλλοντες, καί ἐτέλουν Ἁγιασμόν, καί διά τό μῆκος τῆς ὁδοῦ ἐγευμάτιζον ἐκεῖ, καί οὕτως ὑπέστρεφον εἰς τήν Μονήν, ψάλλοντες καί αἰνοῦντες τόν Ἀναστάντα Χριστόν, καί τήν Πανάχραντον αὐτοῦ Μητέρα, καί ἐναπέθετον αὖθις τήν ἁγίαν Εἰκόνα τῇ ὡρισμένῃ αὐτῆς θέσει.

Ἐν ἑνί δέ ἔτει, ἐξελθόντες εἰς τήν λιτανείαν, παρέλαβον μεθ'ἑαυτῶν καί διάφορα φαγητά, καί μετά τόν Ἁγιασμόν, ἀφέντες εἰς τό ἁγίασμα τήν ἁγίαν Εἰκόνα, ἐκάθησαν τρώγοντες καί πίνοντες καί ἀτακτοῦντες, ἕως οὗ μεθυσθέντες ἀπεκοιμήθησαν ἅπαντες. Ἀφ'οὗ δέ ἀφυπνίσθησαν, ἦλθον ἵνα λάβωσιν τήν ἁγίαν Εἰκόνα, καί ἐπιστρέψωσιν εἰς τήν Μονήν, ἀλλ'ἡ ἁγία Εἰκών ἔμεινεν

ἀκίνητος,ἐλέγχουσα τήν αὐτῶν ἀφροσύνην καί ἀταξίαν,ἥν ἀνευλαβῶς πρός αὐτήν ἔδειξαν."Οθεν ἐλθόντες εἰς ἑαυτούς,καί γνωρίσαντες τήν ἁμαρτίαν αὐτῶν,προσέπεσαν μετά δακρύων,ζητοῦντες συγχώρησιν τοῦ ἀτοπήματος,ἡ δέ φιλεύσπλαγχνος Δέσποινα ἐπικαμφθεῖσα,ἔδωκεν αὐτοῖς τήν ἁγίαν αὐτῆς Εἰκόνα,καί οὕτω λαβόντες αὐτήν μετά χαρᾶς μεγάλης,ἐπανῆλθον εἰς τό Μοναστήριον·καί ἔκτοτε δέν ἐτόλμησαν νά τήν φέρωσιν εἰς τάς λιτανείας,φοβούμενοι μή τήν ὑστερηθῶσιν.

Β΄ 'Εν ἔτει,αψγ΄(1703)ἦν ἐν ταύτῃ τῇ τοῦ Φιλοθέου ἱερᾷ Μονῇ εἷς 'Εκκλησιάρχης εὐλαβής καί ἐνάρετος,'Ιωαννίκιος ὀνόματι,ὅστις ἤρχετο καθ'ἑκάστην ὡς ἔθος καί ἧπτε τάς κανδήλας.'Ερχόμενος δέ καί ἐνώπιον ταύτης τῆς Εἰκόνος τῆς ἱερᾶς καί ἁγίας,ἵστατο θεωρῶν αὐτήν εὐλαβῶς,καί μέ σέβας ἔλεγε πρός αὐτήν·" Διατί,ὦ Δέσποινα,τά μέν λοιπά ἅπαντα ἱερά Μοναστήρια τοῦ "Ορους,ἐπροίκισεν ἡ χάρις σου μέ εἰσοδήματα καί ὑποστατικά διάφορα,καί ἔχουσιν εἰς πλησμονήν καί σῖτον, καί οἶνον καί ἔλαιον,καί ἄλλα πολλά,τοῦτο δέ τό Μοναστήριον ὑστερεῖται ὅλων τούτων, καί οὔτε σῖτον ἔχει,ἀλλά καί αὐτόν ἀγοράζει;".Ταῦτα καί τά τούτοις ὅμοια ἔλεγε καθ'ἑκάστην,ὁ 'Ιωαννίκιος.'Εν μιᾷ δέ τῶν νυκτῶν,ἐλθών πάλιν ἑτοιμάσαι τάς κανδήλας,καί σταθείς ἐνώπιον τῆς ἁγίας Εἰκόνος,ηὔχετο ἐκτενῶς μετά δακρύων,καί ἀποκαμών,ἐκάθησεν εἰς τό ἀπέναντι στασίδιον,διαλογιζόμενος·ἀποκοιμηθείς δέ βλέπει εἰς τόν ὕπνον του τήν τῶν λυπουμένων παρηγορίαν,τήν Δέσποιναν λέγω,θεοτόκον,λέγουσαν αὐτῷ·Τίνος ἕνεκεν,ὦ τέκνον μου 'Ιωαννίκιε,μέ ἐνοχλεῖς συχνάκις,λέγων, ὅτι προνοῶ μόνον διά τάς ἄλλας Μονάς τοῦ 'Αγίου "Ορους,αὕτη δέ μόνη ἡ Μονή ὑστερεῖται πτωχεύουσα;γίνωσκε οὖν ὅτι ἐγώ ἔχω τήν πρόνοιαν δι'ὅλα τά ἀναγκαῖα αὐτῆς,ἀπεφάσισα δέ οὕτως, ἵνα οἱ κατά καιρούς 'Ηγούμενοι καί Προϊστάμενοι καί 'Επίτροποι,μή δίδωνται ὅλως διόλου εἰς τά γήϊνα,καί ἀμελοῦσι τήν σωτηρίαν αὐτῶν·ὅθεν παῦσον τοῦ νά μέ ἐνοχλεῖς τοῦ λοιποῦ περί

τούτου,ὅτι ἐγώ εἰμί ἡ Ἔφορος καί προστάτις τῆς Μονῆς ταύτης καθ'ὅλα,καί μή φροντίζων περί τούτου ἐπιμελοῦ τόν ναόν μου πιστῶς,καί φρόντισον διά τήν σωτηρίαν τῆς ψυχῆς σου.Ταῦτα ἀκούσας ὁ 'Ιωαννίκιος,ἐξύπνησεν ἔντρομος ὁμοῦ καί περιχαρής, καί δραμών ἔπεσεν ἐνώπιον τῆς ἁγίας Εἰκόνος,καί ἐζήτει μετά δακρύων συγχώρησιν,ἀπελθών δέ ἀνήγγειλε τά ὁραθέντα τοῖς 'Α-δελφοῖς,καί πάντες θαυμάσαντες ἐχάρησαν μεγάλως.

Γ.' 'Εν ἔτει αωα.' (1801 ) ξένος ἐλθών εἰς τήν Μονήν χάριν προσκυνήσεως,καί ἐμβάς εἰς τόν Ναόν,προσεκύνησε καί τήν ἁγίαν Εἰκόνα τῆς Γλυκοφιλούσης,ἰδών δέ τά ἐν αὐτῇ κρεμάμενα χρυσᾶ νομίσματα,ἠβουλήθη κακῶς νά κλέψῃ αὐτά ὁ ἄθλιος·ὅθεν μετά τόν Ὄρθρον,ἐκρύβη εἰς ἕν στασίδιον,ὁ δέ 'Εκκλησιάρχης κλεί-σας τήν θύραν τοῦ Ναοῦ,ἀπῆλθεν εἰς τήν κέλλαν αὐτοῦ.Τότε ὁ κλέπτης ἐκεῖνος,τολμήσας ἀφήρησε τά νομίσματα,καί εὐθέως ἐ-ξελθών τοῦ Ναοῦ ἔφυγε κρυφίως,καί καταβάς εἰς τόν λιμένα τῆς τῶν 'Ιβήρων Μονῆς,εὗρε πλοῖον ἕτοιμον πρός ἀναχώρησιν,εἰς ὅ καί εἰσῆλθον,ὄντος δέ τοῦ ἀνέμου ἐπιτηδείου ἀνεχώρησεν ἀμέσως. Πλεῦσον δέ ἕως μίλιον ἕν,ἔστη τό πλοῖον ἀκίνητον,ὢ τοῦ θαύ-ματος! ἐν μέσῳ τοῦ πελάγους,καί μάλιστα πνέοντος τοῦ ἀνέμου ἐπιτηδείου.Τοῦτο τό παράδοξον βλέπων ὁ πλοίαρχος διηπόρει, ἀγνοῶν τό τούτου αἴτιον.Οὕτως οὖν τοῦ μέν πλοίου ἱσταμένου ἀκινήτου,τοῦ δέ ἱεροσύλου ἐκείνου ὑπό φρίκης καί δειλίας συνεχομένου,ἔφθασε καί ἡ ὥρα ἵνα κρούσῃ ὁ 'Εκκλησιάρχης εἰς τήν Μονήν τήν ἀνάγνωσιν τῆς Τριθέκτης Ὥρας.Ὅθεν εἰσελθών εἰς τόν Ναόν,καί ἰδών ὅτι τά χρυσᾶ νομίσματα ἔλειπον ἐκ τῆς ἁγίας Εἰκόνος,ὑπενόησεν εὐθέως τήν γενομένην κλοπήν,ὅπερ καί ἐκαινοποίησεν,εἰς τούς Προεστῶτας,οἵτινες ἀπέστειλαν δύο ἀδελ-φούς εἰς τόν αἰγιαλόν,ἵνα προφθάσωσι τόν ἱερόσυλον.Οὗτοι ἰ-δόντες μακρόθεν τό πλοῖον ἱστάμενον ἀκίνητον,ἔδραμον εἰς τόν λιμένα τῆς ῥηθείσης Μονῆς τῶν 'Ιβήρων,καί ἐμβάντες εἰς πλοιά-ριον,ἔφθασαν τό ἱστάμενον πλοῖον,καί ἀνῆλθον ἐπ'αὐτοῦ·ὁ δέ

ἱερόσυλος,πρίν ἀναγγείλωσι τῷ πλοιάρχῳ τά πραχθέντα,ἐλθών προσέπεσεν εἰς τούς πόδας τῶν 'Αδελφῶν,ἀποδίδων αὐτοῖς τά χρυσᾶ νομίσματα,καί ζητῶν μετά δακρύων τήν συγχώρησιν·οἱ δέ 'Αδελφοί λαβόντες τά νομίσματα,συνεχώρησαν αὐτῷ τήν ἁμαρτίαν,ὡς ὑπό τοῦ διαβόλου πλανηθέντι,καί οὕτως ὑπέστρεψαν εἰς τήν Μονήν,διηγούμενοι τοῖς 'Αδελφοῖς τό παράδοξον θαῦμα τῆς ἀκινησίας τοῦ πλοίου,καί ἐν κατανύξει ἔψαλλον εὐχαριστηρίους ὕμνους,δοξάζοντες καί μεγαλύνοντες τήν Πανύμνητον Θεοτόκον,τήν διά τῆς θαυματουργοῦ Γλυκοφιλούσης Εἰκόνος αὐτῆς,τοιαῦτα ἐνεργοῦσαν θαύματα.

Δ΄ Κατά τό ἔτος αω΄ ( 1800 ) ἦλθον εἰς τήν ἱεράν ταύτην τοῦ Φιλοθέου Μονήν,εὐλαβεῖς προσκυνηταί ἐκ τοῦ χωρίου τῆς Θεσσαλονίκης Μέροβον καλουμένου,παρακινηθέντες εἰς τοῦτο, καί ὡς ἔθος ὁδηγηθέντες παρά τοῦ 'Οσιωτάτου Γέροντος 'Ανθίμου Φιλοθεΐτου.'Ελθόντες οὖν προσεκύνησαν εὐλαβῶς τά ἱερά κειμήλια,καί τήν θαυμαστήν Εἰκόνα τῆς Γλυκοφιλούσης,διηγεῖτο δέ αὐτοῖς ὁ 'Εκκλησιάρχης τά πολλά καί ὑπέρ φύσιν θαυμάσια, ὅσα ἐτέλεσε,καί τελεῖ εἰς τούς μετά πίστεως ἐπικαλουμένους αὐτήν·τό δέ ἑσπέρας ἐξένισαν αὐτούς οἱ 'Αδελφοί εἰς τό ξενοδοχεῖον ( 'Αρχονταρίκιον ) φιλοφρόνως,καί οὕτως ἐκοιμήθησαν ἅπαντες.Εἷς δέ ἐξ αὐτῶν,ἠγέρθη τό μεσονύκτιον,θέλων νά περιποιηθῇ τόν ἵππον αὐτοῦ,καί ἰδών τήν θυρίδα ἀνεψγμένην,ἐνόμισεν,καρηβαρείᾳ συνεχόμενος ἐκ τοῦ ὕπνου καί τοῦ δείπνου,ὅτι ἦν ἡ θύρα τοῦ ξενοδοχείου,καί οὕτως ἐξῆλθεν ἀπερισκέπτως,καί ἔπεσε κάτω ἐκ τοῦ τριστέγου τῆς Μονῆς,ἐπάνω εἰς σωρόν λίθων πολλῶν·πίπτων δέ ἐνεθυμήθη τά θαύματα τῆς θαυματουργοῦ Γλυκοφιλούσης,καί ἔκραζε: " Παναγία βοήθει μοι ".Καί εὐθύς τοῦ ἐφάνη ὡς μία Καλογραῖα καί ἐκράτησεν αὐτόν,καί ἔμεινε παραδόξως ἀβλαβής ἐκ τοῦ φοβεροῦ ἐκείνου πτώματος καί κρούσματος τῶν πετρῶν. 'Ανανήψας δέ ἦλθεν εἰς τήν θύραν τῆς Μονῆς καί ἔκρουεν ἵνα ἀνοίξωσιν αὐτῷ.'Ακούσας εἷς 'Ιεροδιάκονος Μελέτιος ὀνόματι,

ἀδελφός κατά σάρκα τοῦ Προηγουμένου Καλλίνικου,είδοποίησε τόν Γέροντα αὐτοῦ καί Σκευοφύλακα Σωφρόνιον,ὁ δέ πληροφορηθείς ὅτι ὁ κρούων εἶς ἦν τῶν προσκυνητῶν καί ὅτι ἔπεσεν ἐκ τῆς θυρίδος κάτω,διέταξε καί ἤνοιξαν αὐτῷ τήν θύραν,καί ἰδόντες αὐτόν ὅλον ὑγιῆ καί ἀβλαβῆ,ἐθαύμασαν ἅπαντες.Εἶτα διηγήθη αὐτοῖς τά συμβάντα αὐτῷ,ὡς ἀνωτέρω,καί εὐχαρίστησαν θερμῶς τήν Δέσποιναν τοῦ παντός,καί ταχεῖαν ἀντίληψιν τῶν εὐλαβῶς ἐπικαλουμένων αὐτήν.'Ο δέ ἄνθρωπος,ὁ λυτρωθείς τοῦ κινδύνου, ἤρχετο κατ'ἔτος εἰς προσκύνησιν τῆς σεπτῆς Εἰκόνος τῆς Γλυκοφιλούσης,ἀφιέρωσε δέ καί τόν ἵππον του εἰς τήν Μονήν,καί μίαν ἀργυρᾶν κανδήλαν εἰς τήν ἁγίαν Εἰκόνα,ἥτις καί μέχρι τῆς σήμερον κρέμαται ἐνώπιον αὐτῆς,εἰς ἀΐδιον μνήμην τοῦ θαύματος.

Ε΄ 'Ο ρηθείς Πρηγούμενος Καλλίνικος,ἐρχόμενος μετά τεσσαράκοντα προσκυνητῶν ἀπό Αἶνον,ἔσπευδεν ἵνα προφθάσῃ εἰς τήν Μονήν πρό τῆς 'Εορτῆς τοῦ θείου Εὐαγγελισμοῦ,ἵνα ἐκεῖ ἑορτάσῃ καί τόν θεῖον Εὐαγγελισμόν καί τό Ἅγιον Πάσχα ὁμοῦ, καθώς ἐν ἐκείνῳ τῷ ἔτει συνέπεσε,ὅπερ καί Κύριον καί Μέγα Πάσχα λέγεται.Εὑρισκομένων δέ αὐτῶν ἀναμέσον Λήμνου καί Ἴμβρου,ἠγέρθη τήν νύκτα ἄνεμος σφοδρός,καί τρικυμία μεγάλη, καί τοσαύτη,ὥστε ἀπηλπίσθησαν ἅπαντες οἱ ἐν τῷ πλοίῳ,καί περιέμενον ἀφεύκτως τόν θάνατον,ὀδυρόμενοι γοερῶς.'Ο δέ ρηθείς Προηγούμενος Καλλίνικος,ἐλυπεῖτο μέν πλέον τῶν ἄλλων, δέν ἀπηλπίσθη δέ,ἀλλ'ἐπαρηγόρει ἅπαντας,παρακαλῶν αὐτούς νά ἔχωσι θάρρος εἰς τήν Κυρίαν Θεοτόκον,καθότι ἀπό μεγάλους κινδύνους καί ἀνάγκας πολλάκις ἀβλαβῆ αὐτόν ἐφύλαξε.Καί τό μέν πλοῖον ἐφέρετο ὑπό τῆς βίας τοῦ ἀνέμου,καί ἐπλησίαζε τόπον τινά τραχύτατον καί ἐπικίνδυνον λίαν,Καραγάτζι καλούμενον, καί ἄν ἤθελεν ἐξώσῃ ἐκεῖ τό πλοῖον ὁ ἄνεμος,ἐξάπαντος ἔμελλον νά πνιγῶσιν ἅπαντες.'Αλλ'ἡ Θεοτόκος τί ᾠκονόμησεν; τό

πηδάλιον τοῦ πλοίου ἔπεσε παραδόξως καί ἐχάθη ἐκ τῶν χειρῶν τοῦ Κυβερνήτου,τό δέ πλοῖον κυβερνώμενον θαυμασίως ὑπό τῆς Θεοτόκου,προσωρμίσθη εἰς ἀμμώδη καί ἀκίνδυνον τόπον,καί ἐκεῖ ἐκάθισεν ἐπί τῆς ἄμμου,δέν ἐγνώριζον δέ ποσῶς οἱ ἄνθρωποι ποῦ εὑρίσκοντο.Διαφαυσάσης τῆς ἡμέρας,καί ἰδόντες παραδόξως ὅτι τό πλοῖον ἀσφαλῶς ἐκάθισεν ἐπί τῆς ἄμμου,καί τό πηδάλιον ὄπισθεν αὐτοῦ δεδεμένον,ἐθαύμασαν τήν προμήθειαν τῆς Θεοτόκου. 'Εξελθόντες δέ εἰς τήν ξηράν,ἐγνώρισαν ὅτι ἦσαν ἀπέναντι τῆς νήσου Θάσου,μεταξύ Ξάνθης καί Τραϊανουπόλεως.Εἶτα ἀποπλεύσαντες ἐκεῖθεν,ἔφθασαν εἰς τήν Μονήν,καί ἐπανηγύρισαν τριπλῆν ἑορτήν, ἤτοι τήν τοῦ Πάσχα,τήν τοῦ θείου Εὐαγγελισμοῦ,καί τήν σωτηρίαν ἐκ τοῦ ναυαγίου,διηγούμενοι τοῖς 'Αδελφοῖς,ὅσα ὡς ἀνωτέρω συνέβησαν αὐτοῖς.Καί δή ὁ ρηθείς Προηγούμενος Καλλίνικος,μεγάλας χάριτας ὡμολόγει τῇ Παντανάσσῃ Θεοτόκῳ,οὐ μόνον διά τήν θαυματουργίαν ταύτην,ἀλλά καί δι'ἄλλας πολλάς,ἅς παρ'αὐτῆς ἀπήλαυσεν·εὑρισκόμενος γάρ εἰς πολλούς καί διαφόρους τόπους, χάριν ἐλέους πρός βοήθειαν τῆς Μονῆς,καί ἀπό ληστάς καθ'ὁδόν ἐφυλάχθη ἀβλαβής,καί ἀπό νόσου πανώλους διετηρήθη ἀσινής, καί ἀπό πειρατάς καί ναυάγια ἐλυτρώθη πολλάκις.

ΣΤ. Εἷς Χριστιανός ἐκ τῆς κώμης τῆς Αἴνου τῆς καλουμένης Παράωρα,εἶχε γυναῖκα στεῖραν καί ἄτεκνον χρόνους ἱκανούς.'Ελθών εἰς προσκύνησιν τῆς θαυματουργοῦ Εἰκόνος τῆς Γλυκοφιλούσης, ἔλαβε μεθ'ἑαυτοῦ ὀλίγον ἔλαιον ἐκ τῆς κανδήλας αὐτῆς,καί ἐπιστρέψας εἰς τόν οἶκον αὐτοῦ,ἐχρίσθη δι'αὐτοῦ μετά τῆς συζύγου αὐτοῦ μετ'εὐλαβείας καί πίστεως,καί,ὤ τοῦ θαύματος! τόν αὐτόν χρόνον συλλαβοῦσα ἡ γυνή ἔτεκεν υἱόν·καί εἰς ἀμοιβήν τῆς χάριτος ὡς εὐγνώμων,προσέφερε δῶρον εἰς τήν Μονήν ἕνα ἡμίονον, ὁμολογῶν παρρησίᾳ τήν θαυματουργίαν τῆς Θεοτόκου,καί ἐθαύμασαν οἱ ἀδελφοί,ὡς μή γινώσκοντες παντελῶς περί τοῦ ἐλαίου,ὅπερ ἔλαβεν ὁ ρηθείς εὐσεβής Χριστιανός,μετ'εὐλαβείας καί πίστεως.

'Η ἁγία καί θαυματουργός αὕτη Εἰκών ἵσταται ἐν τῷ κίονι τοῦ ἀριστεροῦ χοροῦ τοῦ ἱεροῦ Καθολικοῦ Ναοῦ τῆς σεπτῆς τοῦ 'Οσίου Φιλοθέου καί ἁγίας Μονῆς.

Τῇ αὐτῇ ἡμέρᾳ, μνεῖαν ἔτι ποιούμεθα τῆς ἐξαιρέτου προνοίας καί εὐεργεσίας πρός ἡμᾶς τῆς Κυρίας Θεοτόκου, ἥτις ἐπινεύσασα ταῖς δεήσεσιν ἡμῶν, ἀπέβαλε καί ἐξέωσε τοῦ 'Αγιωνύμου Όρους τόν μισόχριστον τῶν 'Αγαρηνῶν στρατόν, κατακρατήσαντα καί ταλαιπωρήσαντα τά 'Ιερά αὐτῆς Σκηνώματα.

Στίχ: Εὐγνωμόνως σοι εὐχαριστοῦμεν Κόρη·
Λυγρᾶς γάρ ἐρρύσω ἡμᾶς ἐκ δουλείας.

Ταῖς τῆς Πανάγνου σου Μητρός, Κυρίας ἡμῶν Γλυκοφιλούσης πρεσβείαις Χριστέ ὁ Θεός καί πάντων σου τῶν 'Αγίων ἐλέησον καί σῶσον ἡμᾶς ὡς ἀγαθός καί φιλάνθρωπος καί ἐλεήμων Θεός. 'Αμήν.

Τῆς 'Εορτῆς.

'Ωδή ζ'. 'Ο Εἱρμός.

" Εἰκόνι λατρεύειν, μουσικῆς συμφωνίας συγκαλουμένης λαούς, ἐκ τῶν ᾠδῶν Σιών ᾄδοντες, πατρικῶς οἱ Παῖδες Δαυΐδ, τυράννου ἔλυσαν, τό παλίμφημον δόγμα, καί τήν φλόγα εἰς δρόσον μετέβαλον, ὕμνον ἀναμέλποντες· 'Ο ὑπερυψούμενος τῶν Πατέρων καί ἡμῶν, Θεός εὐλογητός εἶ."

'Ως πρώτη ὑπάρχει, ἡμερῶν καί κυρία, ἡ λαμπροφόρος αὕτη, ἐν ᾗ ἀγάλλεσθαι ἄξιον, τόν καινόν καί θεῖον λαόν· ἐν τρόμῳ φέρει γάρ, καί αἰῶνος τόν τύπον, ὡς ὀγδοάς τελοῦσα τοῦ μέλλοντος. 'Ο ὑπερυψούμενος τῶν Πατέρων καί ἡμῶν, Θεός εὐλογητός εἶ.

'Ο μόνος τολμήσας,τῇ ἀπίστῳ τε πίστει,εὐεργετήσας ἡμᾶς, Θωμᾶς ὁ Δίδυμος,λύει μέν τήν ζοφώδη ἄγνοιαν τοῖς πᾶσι πέρασι, τῇ πιστῇ ἀπιστίᾳ·ἑαυτῷ δέ τόν στέφανον πλέκει σαφῶς,λέγων· Σύ εἶ Κύριος,ὁ ὑπερυψούμενος τῶν Πατέρων καί ἡμῶν,Θεός εὐλογητός εἶ.

Οὐ μάτην διστάσας,ὁ Θωμᾶς τῇ Ἐγέρσει σου,οὐ κατέθετο, ἀλλ'ἀναμφίλεκτον ἔσπευδεν,ἀποδεῖξαι ταύτην,Χριστέ τοῖς πᾶσιν ἔθνεσιν·ὅθεν δι'ἀπιστίας πιστωσάμενος πάντας,ἐδίδαξε λέγειν· Σύ εἶ Κύριος,ὁ ὑπερυψούμενος,τῶν Πατέρων καί ἡμῶν,Θεός εὐλογητός εἶ.

'Εμφόβως τήν χεῖρα,ὁ Θωμᾶς τῇ πλευρᾷ σου,τῇ ζωηφόρῳ Χριστέ,ἐνθείς ὑπότρομος ἤσθετο,ἐνεργείας Σῶτερ διπλῆς τῶν δύο φύσεων,τῶν ἐν σοί ἡνωμένων ἀσυγχύτως,καί πίστει ἐκραύγαζε, λέγων·Σύ εἶ Κύριος,ὁ ὑπερυψούμενος,τῶν Πατέρων καί ἡμῶν,Θεός εὐλογητός εἶ.

Τῆς Θεοτόκου.

'Ωδή ζ'. 'Ο Παῖδας ἐκ καμίνου.

Κατῆρε θαυμαστῶς ἐν τῷ Ἄθωνι,Εἰκών σου ἡ πάντιμος,φεύγουσα δεινήν,Εἰκονομάχων ἀληθῶς,Θεοτόκε μανίαν καί δέδοται, ἡμῖν ὡς θησαυρός σωτηρίας,Γλυκοφιλοῦσα Πάναγνε.

'Ισχύν καί ἀσφαλείας προπύργιον,Παρθένε κατέχουσα,χαίρει καί σκιρτᾷ,τοῦ Φιλοθέου ἡ Μονή,Γλυκοφιλοῦσα τήν θείαν Εἰκόνα σου,καί ταύτης τῇ ἁγίᾳ ἐλεύσει,λαμπράν ἄγει πανήγυριν.

Οἱ πάλαι ἐν τῷ πλῷ κινδυνεύσαντες,πρός θάνατον Δέσποινα, τῇ σῇ ἀρωγῇ,ἐρρύσθησαν ἐκ τοῦ πνιγμοῦ,καί σῶοι ἀκυμάντως ὡρμίσθησαν,τῷ ὅρμῳ τῆς Μονῆς Φιλοθέου,κηρύττοντες τό θαῦμά σου.

Ναῷ τῷ σῷ ὡς ἄλλην βασίλισσαν,τήν θείαν Εἰκόνα σου, βλέποντες 'Αγνή,προσπίπτομεν πανευλαβῶς,καί λαμβάνομεν θᾶττον πᾶν αἴτημα,ὑμνοῦντες Γλυκοφιλοῦσα Παρθένε,τά θεῖα μεγαλεῖά σου.

'Εξήλασας τοῦ Ἄθω μισόχριστον,στρατόν τῇ σῇ χάριτι,Δέσποινα 'Αγνή·διό ἐτήσιον ᾠδήν,ἐπί τούτῳ σοι ᾄδομεν,λέγοντες· Σύ εἶ ἡμῶν ἀντίληψις Κόρη,καί ταχινή βοήθεια.

'Ιλύος ἁμαρτίας ἐκκάθαρον,καί πάσης φαυλότητος,Δέσποινα 'Αγνή,τήν ἀσθενοῦσάν μου ψυχήν,καί ὑγείαν καί ἴασιν δίδου μοι, σεμνή Γλυκοφιλοῦσα Παρθένε,ἁμαρτωλῶν ἡ σώτειρα.

Καταβασία: 'Ο Παῖδας ἐκ καμίνου....

Τῆς 'Εορτῆς.

'Ωδή η'. 'Ο Εἱρμός.

" Τόν ἐν φλογί πυρός,καιομένης καμίνου,διαφυλάξαντα Παῖδας,καί ἐν μορφῇ 'Αγγέλου συγκαταβάντα τούτοις,ὑμνεῖτε Κύριον, καί ὑπερυψοῦτε,εἰς πάντας τούς αἰῶνας".

'Επιποθήσας σου,τήν χαρμοσυνον θέαν,τό πρίν ἠπίστει ὁ Θωμᾶς·ἀξιωθείς δέ ταύτης,θεόν καί Κύριόν σε ἐκάλει Δέσποτα· ὅν ὑπερυψοῦμεν εἰς πάντας τούς αἰῶνας.

Τόν ἀνασχόμενον,τῆς Θωμᾶ ἀπιστίας,καί ὑποδείξαντα πλευράν, καί τῇ αὐτοῦ παλάμῃ ἀκριβολογηθέντα,ὑμνεῖτε Κύριον,καί ὑπερυψοῦτε αὐτόν εἰς τούς αἰῶνας.

Σοῦ τό περίεργον,θησαυρόν κεκρυμμένον,ἡμῖν ἀνέωξε Θωμᾶ· θεολογήσας γλώσσῃ γάρ,θεοφορουμένῃ,'Υμνεῖτε,ἔλεγες,καί ὑπερυψοῦτε Χριστόν εἰς τούς αἰῶνας.

Τῆς Θεοτόκου.

'Ωδή η'. Αὕτη ἡ κλητή.

Διαίρουσα τάς χεῖρας,ἀγκαλίζῃ ὡς βρέφος,θεόν τόν πρό αἰώνων,ἐκ γαστρός σου τεχθέντα,καί ἀσπάζῃ αὐτόν·Ὢ μεγίστης σου δόξης Πανύμνητε,'Αγνή Γλυκοφιλοῦσα ἡμῶν ἡ προστασία!

"Ομβροις ἡ σεμνή,Βικτωρία Παρθένε,ραίνουσα δακρύων,τήν θαυμαστήν σου Εἰκόνα,ἐν θαλάσσῃ αὐτήν,μετά πίστεως ἐνέβαλε κράζουσα·χαῖρε Γλυκοφιλοῦσα,καί μή καταλίπῃς.

Σώφρονας 'Αγνή,καί ἐγκρατεῖς ποιοῦσα,οὐκ ἠθέλησας ἆραι, τήν θαυμαστήν σου Εἰκόνα,ἀτακτοῦντας τούς πρίν,μεταγνόντας αὐτούς δέ ἠλέησας,παιδεύουσα πάντας,ἐμφρόνως βιοτεύειν.

Γέρας ἱερόν,καί ἀληθής παιδεία,ὑπάρχεις ἡμῶν Γλυκοφιλοῦσα Κυρία,καί παιδεύεις καλῶς,τούς συλήσαντας τά θεῖα δωρήματα,ἐκ τῆς σῆς Εἰκόνος,νοΐ ἀφρονεστάτῳ.

"Ετεκεν υἱόν,χρίσει τοῦ σοῦ ἐλαίου,Γλυκοφιλοῦσα Κόρη,ἡ πρῴην ἀτεκνοῦσα,καί εὐσήμῳ φωνῇ,τό σόν θαῦμα ἐκήρυττεν "Αχραντε,καί ἐδοξολόγει,τήν θείαν ἀρωγήν σου.

Ρήματα φωνῆς,εὐχαριστῶν σοι ἦρεν,ὁ πεπτωκώς ἐξ ὕψους, ἐκ τῆς θυρίδος Παρθένε·σύ γάρ τούτῳ 'Αγνή,ὡς μονάστρια ὠράθης καί ἔσωσας,αὐτόν Γλυκοφιλοῦσα,ἐκ θανάτου βεβαίου.

Καταβασία: Αὕτη ἡ κλητή....

Ὠδή θ'. Τῆς 'Εορτῆς.

Μεγάλυνον ψυχήν μου,Χριστόν τόν Ζωοδότην,τόν ψηλαφηθέντα χειρί τοῦ 'Αποστόλου.

" Σέ τήν φαεινήν λαμπάδα,καί Μητέρα τοῦ Θεοῦ,τήν ἀρίζηλον δόξαν,καί ἀνωτέραν πάντων τῶν ποιημάτων,ἐν ὕμνοις μεγαλύνομεν."

Μεγάλυνον ψυχή μου,τόν μετ'ὀκτώ ἡμέρας,θυρῶν τῶν κεκλεισμένων,τοῖς Μαθηταῖς ὀφθέντα.

Σέ τήν φαεινήν λαμπάδα....

Μεγάλυνον ψυχή μου,τόν ἐξερευνηθέντα,οἰκείᾳ εὐσπλαγχνίᾳ, ὑπό τοῦ 'Αποστόλου.

Σοῦ τήν φαεινήν ἡμέραν,καί ὑπέρλαμπρον Χριστέ,τήν ὁλόφωτον χάριν,ἐν ᾗ ὡραῖος κάλλει τοῖς Μαθηταῖς σου,ἐπέστης μεγαλύνομεν.( Δίς ).

Σήμερον ὁ Δεσπότης,ὑπό τοῦ 'Αποστόλου,Θωμᾶ προσψηλαφᾶται,εἰς πίστωσιν ἁπάντων.

Σέ τόν χοϊκῇ παλάμῃ,ψηλαφώμενον πλευράν,καί μή φλέξαντα ταύτην,πυρί τῷ τῆς ἀΰλου θείας οὐσίας,ἐν ὕμνοις μεγαλύνομεν.( Δίς ).

Σήμερον ἀνακράζει,Θωμᾶς τῷ 'Αναστάντι·Σύ μου Θεός καί Κτίστης,καί σέ δοξάζω Σῶτερ.

Σέ τόν ὡς Θεόν ἐκ τάφου,ἀναστάντα Χριστόν,οὐ βλεφάροις ἰδόντες,ἀλλά καρδίας πόθῳ πεπιστευκότες,ἐν ὕμνοις μεγαλύνομεν. (Δίς).

Τῆς Θεοτόκου.

'Ωδή θ΄. Φωτίζου,φωτίζου.

Μεγάλυνον ψυχή μου,τήν μόνην Θεοτόκον,τήν καί Γλυκοφιλοῦσαν καί Κεχαριτωμένην.

'Αγάλλου εὐφραίνου,"Ορος τοῦ "Αθω τό σεπτόν,τήν 'Αγνήν Θεοτόκον ἔχον ὡς προστάτιδα,σύ δέ Μονή,Φιλοθέου σεπτή,σκίρτα ἐν σοί,ἔχουσα ἐν κόλποις,Γλυκοφιλούσης τό 'Εκτύπωμα.

Μεγάλυνον ψυχή μου,τήν ἐκ τοῦ Βυζαντίου,ἡμῖν προσορμισθεῖσαν,'Αγνήν Γλυκοφιλοῦσαν.

Συνῆλθε Παρθένε,σύν 'Ηγουμένῳ τῷ σεπτῷ,ἡ Μονῆς Φιλοθέου 'Αδελφότης ἅπασα,καί ἐν χαρᾷ,ἐκ τοῦ ὅρμου 'Αγνή,σοῦ τήν σεπτήν, καί θείαν Εἰκόνα,ἀγαλλιώμενοι ἀνήγαγον.

Μεγάλυνον ψυχή μου,τήν "Αχραντον Παρθένον,τήν τόν Χριστόν ὡς βρέφος,φιλοῦσαν ὡς Μητέρα.

'Ιάσεις πηγάζει,καί πλεῖστα θαύματα τελεῖ,ἡ σεπτή Εἰκών σου τῇ ἐπισκιάσει σου,Κόρη 'Αγνή·ἧς τήν σεπτήν,ἄφιξιν ὑμνοῦντες,Γλυκοφιλοῦσα ἑορτάζομεν.

Μεγάλυνον ψυχή μου,τήν ἔφορον τοῦ "Ορους,Μονῆς δέ Φιλοθέου,ἐξαίρετον προστάτιν.

Μεγίστη τυγχάνει,ἡ πρός ἡμᾶς σου ἀρωγή,Θεοτόκε Παρθένε·ὅτι ἐσκοράκισας,λυμαντικόν,τῆς "Αγαρ στρατόν·ὅθεν ᾠδάς, ἐτησίως Κόρη,ἅπας ὁ "Αθως σοι ᾄδομεν.

Δόξα. Τριαδικόν.

Μεγάλυνον ψυχή μου,Πατέρα Λόγον Πνεῦμα,τήν μίαν θεαρχίαν τρισίν ἐν χαρακτῆρσι.

'Ομότιμε φύσις,Πάτερ καί σύνθρονε Υἱέ,καί Πανάγιον Πνεῦμα θεαρχία σύνθρονε,δίδου ἡμῖν,φωτισμόν τῷ νοΐ,ταῖς ἱεραῖς τῆς 'Αγνῆς Παρθένου,Γλυκοφιλούσης δεήσεσι.

Καί νῦν. Θεοτοκίον.

Μεγάλυνον ψυχή μου,τήν μόνην Θεοτίκον,τοῖς πᾶσι χορηγοῦσαν,σωτηριώδεις δόσεις.

'Υμνήσας Παρθένε,Γλυκοφιλοῦσα Μαριάμ,τήν σεπτήν σου Εἰκόνα ἀναξίῳ στόματι,σήν ἐξαιτῶ,χάριν 'Αγνή,ἵνα ρυσθῶ πάσης ἁμαρτίας,ὁ καταφεύγων τῇ σκέπῃ σου.

Καταβασία: 'Ο "Αγγελος ἐβόα.....

Φωτίζου,φωτίζου.....

'Εξαποστειλάρια.

"Αγιος Κύριος...(ἐκ γ΄ ).

'Ο οὐρανόν τοῖς ἄστροις.

'Εμῶν μελῶν χειρί σου,ἐξερευνήσας τάς πληγάς,μή μοι Θωμᾶ ἀπιστήσῃς,τραυματισθέντι διά σέ'σύν Μαθηταῖς ὁμοφρόνει, καί ζῶντα κήρυττε Θεόν.

Τῆς Θεοτόκου,ὅμοιον.

Τῆς σῆς Εἰκόνος Κόρη,Γλυκοφιλοῦσα Μαριάμ,τήν ἔλευσιν τήν ξένην,πανηγυρίζοντες φαιδρῶς,τά μεγαλεῖα ὑμνοῦμεν,τῶν σῶν θαυμάτων Παρθένε.

Τῆς 'Εορτῆς.

Σήμερον ἔαρ μυρίζει,καί καινή κτίσις χορεύει·σήμερον

αἴρονται κλεῖθρα,θυρῶν καί τῆς ἀπιστίας,θωμᾶ τοῦ φίλου βοῶντος·'Ο Κύριος καί Θεός μου.

ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ

'Ιστῶμεν στίχους στ΄ καί ψάλλομεν Προσόμοια τῆς 'Εορτῆς γ΄ καί τῆς Θεοτόκου γ΄

Τῆς 'Εορτῆς.

Ἦχος α΄ Πανεύφημοι Μάρτυρες.

Μετά τήν ἐκ τάφου σου φρικτήν,Ζωοδότα Ἔγερσιν,ὥσπερ σφραγῖδες οὐκ ἔλυσας,Χριστέ τοῦ μνήματος,οὕτω κεκλεισμένων, θυρῶν εἰσελήλυθας,πρός τούς πανευκλεεῖς 'Αποστόλους σου,χαροποιῶν αὐτούς,καί εὐθές σου παρεχόμενος,τούτοις Πνεῦμα,δι' ἄμετρον ἔλεος.

Θωμᾶς ὁ καί Δίδυμος οὐκ ἦν,ἐνδημῶν ἡνίκα σύ,τοῖς Μαθηταῖς ὤφθης Κύριε·ὅθεν ἠπίστησε,τῇ σῇ 'Αναστάσει,καί τοῖς κατιδοῦσί σε,ἐβόα·Εἰ μή βάλω τόν δάκτυλον,εἰς τήν πλευράν αὐτοῦ,καί τῶν ἥλων τά τυλώματα,οὐ πιστεύω,ὅτι ἐξεγήγερται.

'Ως θέλεις ψηλάφησον Χριστός,τῷ Θωμᾷ ἐβόησε·βάλε τήν χεῖρα καί γνῶθί με,ὀστέα ἔχοντα,καί γεῶδες σῶμα·καί μή γίνου ἄπιστος,ἐπίσης δέ τοῖς ἄλλοις πιστώθητι·ὁ δέ ἐβόησεν· 'Ο Θεός μου καί ὁ Κύριος,σύ ὑπάρχεις·δόξα τῇ 'Εγέρσει σου.

Τῆς Θεοτόκου.

Ἦχος β΄ Ὅτε ἐκ τοῦ ξύλου.

Ὅτε ἡ ἁγία σου Εἰκών,ἐκ τοῦ Βυζαντίου Παρθένε,Εἰκονομάχων δεινήν,αἵρεσιν ἐκφεύγουσα,τότε διέπλευσεν,ἀκυμάντως τήν θάλασσαν,καί ποντοπορο῀υσα,πρός ἡμᾶς ἀφίκετο,τῇ ἐπινεύσει σου·

ὅθεν ἡ Μονή Φιλοθέου,ταύτην ἐν χαρᾷ δεξαμένη,ὡς παντοβασίλισσαν σέ ὕμνησεν.

Ὅτε ἀπαστράπτουσα φωτί,ὥρμητο Μονῆς τῷ λιμένι,ἡ σή ἁγία Εἰκών,τότε ὁ Ἡγούμενος χερσίν ὁσίαις Ἁγνή,εὐλαβῶς ταύτην ἔλαβε,καί ἡ Ἀδελφότης,πᾶσα συνοδεύουσα,καί λιτανεύουσα,ταύτην μετεκόμισαν πόθῳ,ὦ Γλυκοφιλοῦσα Παρθένε,τῇ παρούσῃ ποίμνῃ σου ὑμνοῦντές σε.

Δῶρον καί διάδημα σεπτόν,καί ἁγιαστήριον θεῖον,Γλυκοφιλοῦσα Ἁγνή,Φιλοθέου κέκτηται,ἡ εὐαγής σου Μονή,τήν ἁγίαν Εἰκόνα σου,θαύματα τελοῦσαν,καί στρατόν μισόχριστον,Ἀγαρηνῶν δυσσεβῶν,πόρρω ἐξωθήσασαν Κόρη·ὅθεν χαριστήριον ὕμνον, ᾄδομεν τῇ θείᾳ σου χρηστότητι.

Δόξα. Ἦχος πλ.β'.

Μεθ'ἡμέρας ὀκτώ,τῆς Ἐγέρσεώς σου Ἰησοῦ βασιλεῦ,μονογενές Λόγε τοῦ Πατρός,ὤφθης τοῖς Μαθηταῖς σου,κεκλεισμένων τῶν θυρῶν,τήν εἰρήνην σου παρεχόμενος·καί τῷ ἀπιστοῦντι Μαθητῇ τούς τύπους ἔδειξας.Δεῦρο ψηλάφησον τάς χεῖρας,καί τούς πόδας,καί τήν ἀκήρατον μου πλευράν·ὁ δέ πεισθείς ἐβόα σοι· ὁ Κύριός μου καί ὁ Θεός μου,δόξα σοι.

Καί νῦν. Ὁ αὐτός.

Μετά πλοῦν θαυμαστόν,κυβερνωμένη τῇ χειρί σου,θαυμαστῶς ἡμῖν ἀφίκετο,ἡ σή ὑπέρτιμος Εἰκών,Γλυκοφιλοῦσα Παρθένε·καί πᾶσα ἡ ὁσία ἀδελφότης,προχυθεῖσα ἐν χαρᾷ,εὐλαβῶς σε ὑπεδέξατο,βασιλικήν σοι πομπείαν ποιουμένη·καί οἱ προάγοντες ἐν πίστει,καί οἱ ἀκολουθοῦντες ἐν ᾠδαῖς,Δαβιτικῶς ἐβόων·Αὕτη ἡ δόξα τῆς θυγατρός τοῦ Βασιλέως τῶν οὐρανῶν,ἥν παραδόξοις ἔργοις ἐκφαίνει,διά τῆς σεπτῆς αὐτῆς Εἰκόνος,πρός σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

ΔΟΞΟΛΟΓΙΑ ΜΕΓΑΛΗ ΚΑΙ ΑΠΟΛΥΣΙΣ.

.......................................

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ.

Τά συνήθη.'Απόστολον καί Εὐαγγέλιον τῆς Κυριακῆς καί τῆς Θεοτόκου.

Κοινωνικόν: 'Επαίνει 'Ιερουσαλήμ τόν Κύριον, καί Τό πρόσωπόν σου λιτανεύσουσιν οἱ πλούσιοι τοῦ λαοῦ.'Αλληλούϊα.

Μεγαλυνάριον.

Χαίρει Φιλοθέου θεία Μονή,ἔχουσα Παρθένε,τήν Εἰκόνα σου τήν σεπτήν,τήν γλυκοφιλοῦσαν,τόν Κύριον ὡς βρέφος,καί πᾶσι χορηγοῦσαν,χάριν καί ἔλεος.

""""""""""""""""""""""

Δίστιχον.

Γλυκοφιλοῦσα Παρθένε χάριν δίδου
Γερασίμῳ μέλψαντι τάς χάριτάς σου.

............